Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: qpe-aa

*Παυσανίας ὁ Περιηγητής* · Pausanias Periegete II

# Collection of Attic Names

*Ἀττικῶν ὀνομάτων συναγωγή*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γεωγραφία* Geography
**Format:** *Πεζός* Prose

T 1 Παυσανίου Ἀττικῶν ὀνομάτων συναγωγή. ἀβάκιον · ἐφ’ οὗ ἐκύβευον καὶ ἐφ’ οὗ τοὺς λογισμοὺς ἐποιοῦντο.

alpha 2 ἄβρα · ἡ σύντροφος καὶ παρὰ χεῖρα θεράπαινα. Ἄβυδος · ἐπὶ συκοφάντου τάττεται ἡ λέξις διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς Ἀβυδηνούς· καὶ Ἀβυδοκόμαι οἱ ἐπὶ τῷ συκοφαντεῖν κομῶντες.

alpha 3 τίθεται δὲ καὶ ἐπὶ τοῦ εἰκαίου καὶ μηδενὸς ἀξίου. κωμῳδοῦνται δὲ 〈οἱ〉 Ἀβυδηνοὶ καὶ εἰς ἀκολασίαν, καὶ [ἡ] παροιμία· ‘μὴ εἰκῇ τὴν Ἄβυδον‘, ᾗ ἐχρῶντο ἐπὶ τῶν εἰκαίων καὶ οὐδαμινῶν. ἀβυρτάκη · ὑπότριμμα βαρβαρικὸν ἐκ δριμέων σκευαζόμενον, ἐκ καρδάμων καὶ σκορόδων καὶ σινάπεως καὶ σταφίδων, ᾧ πρὸς κοιλιολυσίαν ἐχρῶντο.

alpha 5 ἀγαθοὶ δ’ ἀριδάκρυες ἄνδρες · ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον ῥεπόντων. ἀγαθὸν δαίμονα · ὃν μετὰ τὴν ἄρσιν τῶν τραπεζῶν ἔπινον.

alpha 7 ἄγαλμα Ἑκάτης · τὴν κύνα οὕτως εἴρηκεν Ἀριστοφάνης (II 1195 M. =fr. 594 K.)· ‘καὶ κύων ἀκράχολος, Ἑκάτης ἄγαλμα φωσφόρου, γενήσομαι‘. διὰ τὸ ἐκφέρεσθαι τῇ Ἑκάτῃ κύνας ἢ ὅτι καὶ αὐτὴν κυνοκέφαλον πλάττουσιν. καὶ Καλλίμαχος οὖν ἐν Ὑπομνήμασι τὴν Ἄρτεμιν ἐπιξενωθῆναί φησιν (fr. 461 Pf.) Ἐφέσῳ υἱῷ Καΰστρου, ἐκβαλλομένην δὲ ὑπὸ τῆς γυναικὸς τὸ μὲν πρῶτον μεταβαλεῖν αὐτὴν εἰς κύνα, εἶτ’ αὖθις ἐλεήσασαν ἀποκαταστῆσαι εἰς ἄνθρωπον, καὶ αὐτὴν μὲν αἰσχυνθεῖσαν ἐπὶ τῷ συμβεβηκότι ἀπάγξασθαι, τὴν δὲ θεὸν περιθεῖσαν αὐτῇ τὸν οἰκεῖον κόσμον Ἑκάτην ὀνομάσαι. Ἀγαμεμνόνεια φρέατα · ἱστοροῦσι τὸν Ἀγαμέμνονα περὶ 〈τὴν〉 Ἀττικὴν (cf. [5]

alpha 8 Clidem. FHG. I 361, fr. 9) καὶ περὶ τὴν Αὐλίδα καὶ πολλαχοῦ τῆς Ἑλλάδος φρέατα ὀρύξαι. ἄγανον · τὸ κατεαγός.

alpha 9 ἡ πρώτη ὀξεῖα, καὶ τοῦτο τραγικώτερον τὸ ὄνομα (cf. Soph. fr. 231 P.). ἄγγαρος · ὁ νωθρός· λέγεται δὲ παρὰ τοῖς βαρβάροις καὶ ὁ δημόσιος γραμματοφόρος, ὅθεν ἀγγαρεύεσθαι· τὸ εἰς δημοσίαν χρείαν ὑπηρετεῖν.

alpha 11 ἄγειν · μεγαλύνειν. Ὅμηρος (ε 311)· ‘καί μευ κλέος ἦγον Ἀχαιοί‘. Ὑπερείδης δὲ (fr. 220) ἀντὶ τοῦ ἔχειν. καὶ ἄγειν ἀντὶ τοῦ ὑποκρίνεσθαι καὶ ἄγειν ἀντὶ τοῦ τιμᾶν καὶ ἄγειν ἀντὶ τοῦ πίνειν, ὅπερ καὶ ἐπάγειν ἔλεγον οἱ Ἀττικοί. Δημοσθένης δὲ τὸ ἄγειν ἐν τῷ Κατὰ Τιμοκράτους τὸ τίμημα λέγει ἢ τὴν ποσότητα τῆς ὁλκῆς, φάσκων (XXIV 129) ‘καὶ τὸν ἀκινάκην τὸν Μαρδονίου, ὃς ἦγε

τριακοσίους δαρεικούσ‘, 〈καὶ〉 Κατὰ Δημάδου (fr. 2 Saup.)· ‘ἦγεν δὲ πέντε μνᾶσ‘. ἀγελαῖος · ἀντὶ τοῦ εὐτελής.

alpha 12 τὸ μὲν ὄνομα ἴσως ἀπὸ τῶν ζῴων τῶν συναγελαζομένων, ἐφ’ οὗ σημαινομένου καὶ Πλάτων κέχρηται ἐν τῷ Πολιτικῷ (266a). μετῆκται δὲ ἐπὶ τοὺς ἀδοξοτέρους ἀνθρώπους. οὕτως Ἰσοκράτης ἐν τῷ Παναθηναϊκῷ (§ 18). καὶ 〈Πλάτων Μενελάῳ (II 642 M. = fr. 76 K.)〉 ἀγελαῖον ἄρτον τὸν χυδαῖον, καὶ Εὔπολις (II 570 M. = fr. 374 K.) ἀγελαίας ἰσχάδας τὰς εἰκαίας καὶ ** λίθους δὲ ἀγελαίους τοὺς εἰκαίους καὶ ἀκαταξέστους. ἀγκαλιδαγωγοί · οἱ ἀγκαλίδας ἄγοντες ἐν πλοίοις ἢ ἐπὶ θρεμμάτων, 〈τὸ ῥῆμα ἀγκαλιδαγωγεῖν〉.

alpha 13 ἀγκαλιδοφόροι δὲ οἱ αὐτοὶ φέροντες ἢ οἱ παῖδες οἱ ἀκολοθοῦντες τοῖς ἀγκαλιδαγωγοῖς ὄνοις, 〈τὸ ῥῆμα ἀγκαλιδοφορεῖν〉. λέγονται δὲ οἱ πιπράσκοντες τὰς ἀγκαλίδας ἀγκαλιδοπῶλαι. εἰσὶ δὲ ἀγκαλίδες αἱ τῶν φρυγάνων δέσμαι, οἷον ὃ ἔστιν ἀγκαλίσασθαι. ἀγκύλη · ἀκόντιον καὶ τοῦ ἀγκῶνος ἡ καμπὴ καὶ ἡ δεξιὰ χείρ, ὅθεν καὶ τὰ δόρατα ἀγκυλητά τε καὶ μεσάγκυλα ἐκάλουν.

alpha 14 λέγεται καὶ εἶδος ποτηρίου, ᾧ ἐχρῶντο πρὸς τὴν τῶν κοττάβων παιδιάν, [ἀλλὰ καὶ] ἡ πρὸς κότταβον ἐπιτηδεία κύλιξ διὰ τὸ ἀπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τῇ προέσει. ἦν γὰρ τοῖς παλαιοῖς πεφροντισμένον, καλῶς καὶ εὐσχημόνως κότταβον προΐεσθαι. ὠνομάσθη οὖν ἀπὸ τοῦ τῆς χειρὸς σχηματισμοῦ, ὃν ποιούμενοι προθύμως ἐρρίπτουν εἰς τὸ κοττάβιον. ἔστι δὲ καὶ εἶδός τι ἅμματος, ὡς Ἄλεξις Ἀχαΐδι (III 398 M. = fr. 31 K.)· ‘ 〈τὴν〉 ἀγκύλην τῆς ἐμβάδος οὐ καλῶς ἔσφιγξας 〈αὖ〉 λυθεῖσαν‘. ἐχρήσαντο καὶ ἄλλοι τῇ λέξει. ἀγκυλισταί · οἱ ἀκοντισταί.

alpha 16* ἀγκυλομῆται · σκολιόβουλοι. ἀγκύλον · ἐπικαμπές, στρεβλόν, σκολιόν, ἐπικεκλασμένον.

alpha 18* ἀγναπτότατος αὖος βάτος · ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους τὸν τρόπον. ἀγορὰ Κερκώπων · Ἀθήνησι πλησίον τῆς Ἡλιαίας, ἐν ᾗ μάλιστα τὰ κλοπιμαῖα πιπράσκονται καὶ ὠνοῦνται.

alpha 19 τοιούτους γὰρ καὶ τοὺς Κέρκωπας παρειλήφαμεν, κλέπτας καὶ πανούργους. Ἄγραι καὶ Ἄγρα · χωρίον ἔξω τῆς πόλεως πρὸς τῷ Ἰλι[σ]σῷ, οὗ τὰ μικρὰ τῆς Δήμητρος ἄγεται μυστήρια, ἃ λέγεται τὰ ἐν Ἄγρας, ὡς ἐν Ἀσκληπιοῦ.

alpha 20 Φερεκράτης Γραυσίν (II 267 M. = fr. 36 K.)· ‘εὐθὺς γὰρ ὡς ἐβαδίζομεν ἐν Ἄγρας ...‘ καὶ Ἀρτέμιδος τῆς Ἀγραίας αὐτόθι τὸ ἱερόν. Πλάτων Φαίδρῳ (229 c)· ‘ᾗ πρὸς τὸ τῆς Ἀγραίας διαβαίνομεν‘. Κλείδημος ἐν πρώτῳ Ἀτθίδος (FHG. I 359 fr. 1)· ‘τὰ μὲν οὖν ἄνω [τὰ] τοῦ Ἰλι[σ]σοῦ προσαγορεύουσιν Ἄγραν Εἰλειθυίας, τῷ δ’ ὄχθῳ πάλαι ὄνομα τούτῳ, ὃς νῦν Ἄγρα καλεῖται, Ἑλικών. καὶ ἡ ἐσχάρα τοῦ Ποσειδῶνος τοῦ Ἑλικωνίου ἐπ’ ἄκρου‘. καὶ ἐν τῷ τετάρτῳ (FHG. ib.)· ‘εἰς τὸ ἱερὸν τὸ μητρῷον τὸ ἐν Ἄγραισ‘. ἀγροῦ πυγή · τὸ πιότατον.

alpha 21 οἱ δὲ ἐπὶ τῶν προσκαθημένων τινὶ λιπαρῶς. οἱ δὲ ὑπερβολικῶς λέγουσιν ἐπὶ τῶν ἐν ἀγρῷ καθημένων ἢ ἐπὶ τῶν σφόδρα ἀγροίκων. Ἀγυιεύς · ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς κίων, ἱερὸς Ἀπόλλωνος, καὶ αὐτὸς 〈ὁ〉 θεός.

alpha 22 Φερεκράτης Κραπαταλοῖς (II 291 M. = fr. 87 K.)· ‘ὦ δέσποτ’ Ἀγυιεῦ, ταῦτα συμμέμνησό μοι‘. ἀγὼν οὐ δέχεται σκήψεις · τάττεται ἐπὶ τῶν μηδὲν ὀνιναμένων, εἰ σκήψαιντο.

alpha 24 ἄδειν τὰ Τελαμῶνος (cf. Anth. Lyr. II 6 sc. 15 D 2 )· ἦν τι σκόλιον γεγραμμένον ἐπὶ Αἴαντι, οὗ καὶ ὁ Τελαμὼν κατεμέμ〈ε〉ικτο. Ἀδμήτου λόγον · ἀρχὴ σκολίου, ὃ οἱ μὲν Ἀλκαίου φασίν, οἱ δὲ Σαπφοῦς, οἱ δὲ Πραξίλλης τῆς Σικυωνίας.

alpha 25 ἀρχὴ δὲ τοῦ μέλους αὕτη (Anth. Lyr. II 6 sc. 14 D 2 )· ‘Ἀδμήτου λόγον, ὦ ’ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ’ ἀπέχου γνούς, ὅτι δειλῶν ὀλίγα χάρις.‘ Ἀδράστεια · τινές φασιν ἑτέραν εἶναι τῆς Νεμέσεως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

alpha 26 τὴν αὐτὴν δὲ τῇ Νεμέσει οἱ μὲν ἀπὸ Ἀδράστου φασὶν ὀνομασθῆναι, ὅτι μόνος τῶν ἑπτὰ σωθεὶς μόνος πάλιν τὸν υἱὸν ἀπέβαλεν ἐν τοῖς ἐπιγόνοις, οἱ δὲ ἀπό τινος Ἀδράστου Μυσοῦ ἱδρυσαμένου αὐτῆς ἱερόν. βέλτιον δὲ ἀπὸ τοῦ μηδὲν αὐτὴν ἀποδιδράσκειν. Ἀδώνιδος κῆποι · ἐκ θριδάκων καὶ μαράθρων, ἅπερ κατέσπειρον ἐν ὀστράκοις κατὰ τὰς οἰκίας.

alpha 27* χρῶνται δὲ ἐπὶ τῶν ἐπιπολαίων καὶ κούφων τῇ παροιμίᾳ. ἔσπειρον δὲ τῇ Ἀφροδίτῃ τῶν καρπῶν τὴν εὕρεσιν ἀνατιθέντες. ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι (Soph.

alpha 28 fr. 809 N 2 = 895 P.)· ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων, οἱ δὲ ἐπὶ τῶν ἀξίως τιμωρουμένων. ἀεὶ Ἰλίῳ κακά · ** ἀείτην · τὸν ἑταῖρον.

alpha 30 Ἀρίσταρχος δὲ τὸν ἐρώμενον. ἀεί τις ἐν Κύδωνος · ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους.

alpha 31 ἀπὸ Κύδωνος Κορινθίου φιλοξένως διατεθέντος. ἀετὸν ἵπτασθαι διδάσκεις · ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινάς, ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

alpha 33* ἀήσυρον · ἀσθενὲς καὶ κενόν. Ἀθηνᾷ τὸν αἴλουρον · ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα ἡ παροιμία εἴρηται, ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουρον τῇ Ἀθηνᾷ συμβάλοι.

alpha 35 〈 Ἀθηναία· ἡ θεός 〉 = Ael. α 43. ἀθήρ · λέγεται μὲν οὖν καὶ ἡ ἐπιδορατίς.

alpha 36 λέγεται δὲ καὶ ἀθὴρ πυρός, ὡς Εὐριπίδης Σθενεβοίᾳ (deest Arn., cf. Aesch. fr. 154 N 2 )· ‘παίω Χιμαίρας εἰς σφαγάς, πυρὸς δ’ ἀθήρ βάλλει με καὶ τοῦδ’ αἰθάλη 〈σ〉 πυκνὸν πτερόν‘. αἰγιαλοί · νεῶνες καὶ οἶκοι νεῶν.

alpha 38 αἰγίλιψ (Aesch. Suppl. 795)· ἀπρόσβατος, ψιλή, ἀβόσκητος. αἰγίπυρρος · πόα πυρρά, ἣν αἶγες νέμονται.

alpha 40 αἰγίς · τὸ ἐκ τῶν στεμμάτων πλέγμα καὶ τὸ διὰ τῶν στεμμάτων πεπλεγμένον δίκτυον καὶ τὸ τοῦ Διὸς ὅπλον καὶ ἀνέμου συστροφή, ἣν καὶ καταιγίδα καλοῦσι, καὶ θώραξ καὶ ἡ ἐν ταῖς πεύκαις οὐλότης. αἴγλη · λαμπηδών, αὐγή, φέγγος, φῶς, βόλος κυβευτικός.

alpha 41* Κρατῖνος (II 229 M. = fr. 377 K.). καθ’ ἑτέρους δὲ βόλος φαῦλος κυβευτικός. καὶ ποπάνου εἶδος, ἐν ᾧ διεπλάσσετο εἴδωλα. καὶ ἡ θυσία ἡ ὑπὲρ τοῦ κατακλυσμοῦ εἰς Δελφοὺς ἀπαγομένη, ὥς φησι Μελησαγόρας. ἔστι καὶ παιδιά τις καὶ τοῦ ζυγοῦ τὸ περὶ μέσον· ἀλλὰ καὶ ἡ σελήνη οὕτω καλεῖται καὶ 〈Αἰγλάηρ〉 ὁ Ἀσκληπιός. καὶ χλιδὼν δέ τις οὕτως ἐκαλεῖτο (cf. Soph. fr. 537 N 2 = 594 P.). ἔνιοι δέ φασι σημαίνειν καὶ τὸν περιπόδιον κόσμον ἢ τὰς ἀμφιδέας ἢ ἁπλῶς 〈τὸ〉 ψέλιον 〈ἢ〉 καὶ τὴν πέδην, ὡς παρ’ Ἐπιχάρμῳ (fr. 20 Kaib.). αἰγὸς τρόπον μάχαιραν ἐσκάλευσά 〈μοι 〉 · λέγεται [μέντοι] καὶ ἑτέρως ἡ παροιμία· ‘αἲξ ποττὰν μάχαιραν‘ ὡς Χρύσιππος (deest Arnim) καὶ Κλέαρχος (deest Wehrli).

alpha 42 τάσσεται δὲ ἐπὶ τῶν ἑαυτοῖς προξενούντων κακά. ἡ γὰρ αἲξ σκάλλουσα τὴν μάχαιραν εὑρίσκει, δι’ ἧς θύεται. ἄλλοι δέ φασιν, ὅτι ἐν Κορίνθῳ τῆς Μηδείας παισὶ μετὰ τὸ ἐναγίσαι τὴν μάχαιραν ἀποκρύπτουσι, τῷ δὲ ἑξῆς ἔτει τὸ μέλλον πάλιν ἐναγίζεσθαι ἱερεῖον τοῖς κέρασιν ἀνορύττει τὴν μάχαιραν. Αἰδοῦς βωμός · Ἀθήνησιν ἐν τῇ ἀκροπόλει Αἰδοῦς καὶ Ἀφελείας ἦν βωμὸς περὶ τὸν τῆς Πολιάδος Ἀθηνᾶς νεών, ἃς οἱ μὲν παιδαγωγούς, οἱ δὲ τροφοὺς τῆς Ἀθηνᾶς γενέσθαι φασίν.

alpha 44 αἰεὶ γεωργὸς εἰς νέωτα πλούσιος · ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλάττεσθαι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων. λέγεται καὶ χωρὶς τοῦ ῑ ‘ἀεὶ γεωργόσ‘. μέμνηται δὲ τῆς παροιμίας καὶ Θεόπομπος ὁ κωμικὸς ἐν τῇ Εἰρήνῃ (fr. 1 Dem.) ὡς καὶ ἐν Δελφοῖς ἀναγεγραμμένης· ‘ἔπειτα κἀν Δελφοῖσιν ἀνετέθη γραφείς· ἀεὶ γεωργὸς 〈εἰς νέωτα〉 [ὅτι]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρηστὸς ἦν πρῶτον πολὺ τὸν λιμὸν .. ἀποφεύγων‘. ἔστι καὶ παρὰ ἄλλοις ἡ ὑπόμνησις, ὥς φησιν Εἰρηναῖος. αἰετὸν κάνθαρος μαιεύσομαι (Ar.

alpha 45 Lys. 695)· παροιμία. τὰ γὰρ ᾠὰ τοῦ ἀετοῦ ἀφανίζουσιν οἱ κάνθαροι κυλίοντες, ἐπεὶ οἱ ἀετοὶ τοὺς κανθάρους ἀναλέγουσιν. αἵματι κλαίειν · ἐπὶ τῶν πάντα πραττόντων καὶ μὴ δυναμένων πεῖσαί τινα οὕτω λέγουσιν οἱ ἀρχαῖοι· ‘οὐδ’ ἂν πείσειας αὐτὸν οὐδ’ αἵματι κλαίων‘.

alpha 47 αἱμασιά · ἐκ χαλίκων οἰκοδομή, τειχίον, θριγκός. αἲξ οὐρανία · τὰ τοῦ λευκοῦ κυάμου γένη, ᾧ ἐψήφιζον καὶ ἐχειροτόνουν.

alpha 48 Κρατῖνος ἐν Χείρωσιν (cf. II 160 M. = fr. 244 K.). καὶ παροιμία τὸ ‘αἲξ οὐρανία‘ ὁμοία τῷ ‘λευκὴ ψῆφοσ‘ (cf. Diog. pers. VI 9; Mac. V 57)· ὡς γὰρ Ἀμάλθεια τροφὸς ἦν τοῦ Διός, οὕτω καὶ ἡ τοιαύτη ψῆφος ἔτρεφε τοὺς δωροδοκοῦντας δικαστάς. οἱ δὲ τὰ εἰς τὸ ἀργυρίζεσθαί τισιν ἀφθόνως ἀφορμὴν παρέχοντα οὕτως εἰώθασι λέγειν κωμῳδοῦντες, ἐπεὶ καὶ ὁ τὸ τῆς Ἀμαλθείας κέρας ἔχων πᾶν ὃ ἐβούλετο εἶχεν. αἶρε δάκτυλον · τίθεται ἐπὶ τῶν ἀπαγορευόντων ἐν τῇ ἀγωνίᾳ.

alpha 49 ἐπαίρεσθαι γὰρ τὴν χεῖρα σύμβολον τοῦ νενικῆσθαι. αἴρειν ἔξω πόδα πηλοῦ · ἐπὶ τῶν μὴ βουλομένων ἐν πράγμασιν εἶναι.

alpha 50 λέγεται δὲ καὶ ‘αἴρειν ἔξω πόδα αἰτίασ‘. Αἰσώπειος φόρτος · ** Αἴσωπος 〈γὰρ〉 φρυκτὰς αἴρων μάζας εἰς ὁδὸν καὶ φόρτον ἐξογκώσας οὐκ εὐάγκαλον, ἀλλὰ καὶ δυσβάστακτον διὰ τὸ περιβριθὲς τὴν μὲν ἀρχὴν ἐγελᾶτο οἷα τοσοῦτον ἄχθος τοῦ μετρίου προελόμενος, τῇ δὲ ἑξῆς καὶ τῇ μετ’ αὐτὴν καὶ τῇ ἐχομένῃ ἐθαυμάζετο διὰ τὸ ἀπηλλάχθαι τοῦ κατὰ τοὺς συνδούλους βαρύνεσθαι διόλου τῷ ἀχθοφορήματι.

alpha 52 Αἰώρα · ** ἀκάμπιος δρόμος · ὁ μακρὸς καὶ δι’ εὐθείας περίπατος.

alpha 54 ἄκριες · ἄκρα ὀρῶν, λόφοι, ἐσχατιαί, γωνίαι. ἀκρίζειν · 〈ἐπὶ〉 τὰ ἄκρα ἐπιπορεύεσθαι, ὃ καὶ ἐξακρίζειν Εὐριπίδης φησίν.

alpha 55 (Or. 275). Αἰσχύλος δὲ (Cho. 932) ἐπήκρισέ φησιν ἀντὶ τοῦ ἐπ’ ἄκρον ἤγαγε καὶ τέλος ἐπέθηκεν. ἀκροθίνια πυγμαίων κολοσσῷ ἐφαρμόζειν · παροιμία ἐπὶ τῶν μάτην κοπιώντων.

alpha 57 ἀκρωβελία[ς] · τὸ ἄκρον τοῦ ὀβελίου ἄρτου. ἀκτίς · οἰκέτου ὄνομα καὶ ἀγγείου [δέ], ἐφ’ οὗ οἱ ὀβολοὶ ῥιπτοῦνται.

alpha 59 ἀλάβαστος ** ᾧ ἐχρῶντο ἐπὶ τιμωρίᾳ τῶν μοιχῶν ἀντὶ τοῦ ῥαφάνου. ἅλας ἄγων καθεύδεις · ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ῥᾳστωνευομένων.

alpha 60 ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος καὶ καθεύδοντος τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺς ἅλας. ἔνθεν ἡ παροιμία. ἀλάστωρ · ὁ ἁμαρτωλός· κατὰ μὲν Χρύσιππον τὸν φιλόσοφον (St.

alpha 61 V. Fr. II 47, fr. 157 s.) ἀπὸ τῆς ἐλάσεως, ὁ ἄξιος τοῦ ἐλαύνεσθαι διὰ φόνον, κατὰ δὲ Ἀπολλόδωρον (FG Hist 244, 150) ἀπὸ τοῦ ἀλιτεῖν, ὅ ἐστιν ἀλιτανεύτως ἀδικεῖν. μήποτε δέ ἐστιν ὁ διὰ μέγεθος τῶν πεπραγμένων αὐτῷ λιτῆς μὴ καταξιούμενος ἢ ὁ τοιαῦτα τολμήσας πράττειν, ὧν μὴ ἔστιν ἐπιλαθέσθαι. ἐπὶ δὲ τοῦ Διός, οἷον ‘ἀλάστωρ Ζεύσ‘, ἀπὸ τοῦ τοῖς ἄλαστα πάσχουσιν ἐπαμύνειν ἢ ὡς οὐδὲν αὐτὸν τῶν τολμωμένων παρὰ ἀνθρώποις λαθεῖν δυνάμενον. καὶ δαίμων τις καλεῖται ἐπεξιὼν τοὺς ἄλαστα εἰργασμένους καὶ αὐτὸς ὁ πράξας τι τοιοῦτον, μάλιστα δὲ φόνον αὐτοχειρίᾳ. Μένανδρος Περικειρομένη (v. 408s. Kö.)· ‘ὁ δ’ ἀλάστωρ ἐγώ καὶ ζηλότυπος ἄνθρωποσ‘. 〈καὶ〉 ἐν Ὀργῇ (fr. 308 Kö.) ἐμφαίνεται, ὅτι προσφάτως ἦν ἐπιχωρία· ‘καὶ τοὔνομα τί λέγεις; —ἀλάστωρ [φησί]. —τοῦτο δή [τοίνυν] καινὸν λεγόμενον‘, εἰ μὴ πρὸς τραγῳδ〈ι〉οποιούς τινας λέγεται κατακόρως χρωμένους τῷ ὀνόματι. ἀλαωπός · ὁ ἀφανὴς ἢ ὁ τυφλός.

alpha 63 ἀλετρίδες · αἱ τὸν ἱερὸν ἀλετὸν ἀλοῦσαι. ᾑροῦντο δέ τινες παρθένοι, αἳ τὰ εἰς θυσίαν πόπανα ἤλουν. καὶ ἦσαν ἔντιμοι. ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ · ἐπὶ τῶν ἀληθεστάτων μέν, οὐ πιστευομένων δέ.

alpha 64 μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ (fr. 31 Kö.). Σάγρα γὰρ ποταμὸς τῆς Λοκρίδος. Λοκροὺς δέ φασι τοὺς Ἐπιζεφυρίους πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους· τῶν δὲ στρατὸν μὲν οὐκ ἔχειν φησάντων, διδόναι δὲ αὐτοῖς τοὺς Διοσκούρους τοὺς Λοκροὺς οἰωνισαμένους τὸ κερτομηθὲν τήν τε ναῦν ἀποστρέψαι καὶ δεηθῆναι τῶν Διοσκούρων συμπλεῖν αὐτοῖς. νικησάντων δὲ αὐθημερὸν καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην τὸ μὲν πρῶτον ἀπιστηθῆναι, ἐπεὶ δὲ εὑρέθη ἀληθῆ, ἐκβῆναι ἐκεῖθεν τὴν ῥηθεῖσαν παροιμίαν. ἀληλεσμένον βίον · οἱ μὲν ἐπὶ τῶν βαλανίτῃ βίῳ χρωμένων ἐδέξαντο, οἱ δὲ ἐπὶ τῶν ἀταλαιπώρως βιούντων· οἷον κατειργασμένον, πρὸς τροφὴν ἕτοιμον. [5]

alpha 66 Ἁλικοί · οἱ τὰ πρὸς θάλασσαν τῆς Πελοποννήσου περὶ Τίρυνθος οἰκοῦντες μέρη. ἅλις δρυός · ἐπὶ τῶν δυσχερῶς μέν τι καὶ ἀηδῶς ἐσθιόντων, ὕστερον δὲ βέλτιόν τι εὑρόντων.

alpha 68 ἁλκυονίδες ἡμέραι · αἱ ἐν χειμῶνι νήνεμοι καὶ γαλήνην ἔχουσαι· περὶ δὲ τοῦ ἀριθμοῦ διαφέρονται· Σιμωνίδης γὰρ ἐν Πεντάθλοις (fr. 20 D 2 ) ιδʹ φησὶν αὐτὰς καὶ Ἀριστοτέλης ἐν τοῖς Περὶ ζῴων (h. an. 542b 4 ss.), Δημαγόρας δὲ ὁ Σάμιος (FHG. IV 378, fr. 3) ἑπτά, Φιλόχορος (FHG. I 414, fr. 180) ἐννέα. τὸν δὲ ἐπʼ αὐταῖς μῦθον Ἡγήσανδρος ἐν τοῖς Περὶ ** ὑπομνήμασι (FHG. IV 422, fr. 46) λέγει οὕτως· ‘Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες ἦσαν Φθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππα, Παλλήνη, Δριμώ, Ἀστερίη. αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Παλλήνης, ἔρριψαν αὑτὰς εἰς τὴν θάλασσαν. Ἀμφιτρίτη δὲ αὐτὰς ὄρνιθας ἐποίησε καὶ ἀπὸ τοῦ πατρὸς ἁλκυόνες ἐκλήθησαν. αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι ἁλκυονίδες καλοῦνται‘. ἄλλην δρῦν βαλάνιζε · ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων τι ἢ παρὰ τῶν αὐτῶν ἀεὶ δανειζομένων. [5]

alpha 70 ἄλλος οὗτος Ἡρακλῆς (com. fr. ad. 685 K.)· παροιμία ἐπὶ Θησεῖ ἢ ἑνὶ τῶν Ἰδαίων Δακτύλων, οἱ δὲ ἐπὶ τῷ Αἰγυπτίῳ Ἡρακλεῖ, οἱ δὲ ἐπὶ τῷ τῆς Ἀλκμήνης. ἀλοιμός · τὸ τῶν τοίχων χρῖσμα.

alpha 72 ἀλοιφεῖον · ᾧ οἱ ἀλεῖπται χρῶνται. ἀλύειν · τὸ ἐν ἄλῃ καὶ παρέσει τὴν ψυχὴν ἔχειν.

alpha 74 ἄλφιτα · κυρίως μὲν τὰ ἀπὸ πεφρυγμένων καὶ ἀλεσθεισῶν κριθῶν θραύσματα. καταχρηστικῶς δὲ καὶ τὰ ἀπὸ πυρῶν ἢ φακῶν. ἀλφίτων στοά (cf.

alpha 75 Ar. eccl. 686)· ἡ ἀλφιτόπωλις, ἐν ᾗ καὶ ἡ Ζεύξιδος ἀνέκειτο Ἑλένη. Ἁλῷα · ἑορτὴ Δήμητρος καὶ Διονύσου.

alpha 76 προσηγόρευται δὲ διὰ τὸ ταῖς ἀπαρχαῖς ταῖς ἀπὸ τῆς ἅλω τότε καταχρῆσθαι φέροντας εἰς Ἐλευσῖνα, ἢ ἐπεὶ ἐν ἅλωσιν ἔπαιζον ἐν τῇ ἑορτῇ. ἤγετο δὲ ἐπὶ τῇ συγκομιδῇ τῶν καρπῶν 〈ἡ〉 ἑορτή [Ἁλῷα]. ἐν ᾗ καὶ Ποσειδῶνος πομπή. ἀπὸ τοῦ συναλίζεσθαι, ὅθεν καὶ ἅλως. ἀλώπηξ δωροδοκεῖται · ἐπὶ τῶν ῥᾳδίως δώροις ἁλισκομένων.

alpha 77 Κρατῖνος Νόμοις (II 87 M. = fr. 128 K.)· ‘ὑμῶν εἷς μὲν ἕκαστος ἀλώπηξ δωροδοκεῖται‘. ἀλώπηξ τὸν βοῦν ἐλαύνει · τάττεται ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων.

alpha 79 ἅμα · χρονικόν. ὁμοῦ· χρονικὸν καὶ τοπικόν. ἁμαμηλίς · σῦκον τὸ ἅμα μήλῳ ἀνθοῦν.

alpha 81 ἁμαξίδας · τὰ μικρὰ ἁμάξια, ἃ τοῖς παιδίοις ἐποίουν παίγνια. ἁμάσυκον · μῆλον τὸ ἅμα σύκῳ ἀνθοῦν.

alpha 83 ἀμβροσία · γένος τι συνθέσεως ἐξ ὕδατος ἀκραιφνοῦς καὶ μέλιτος καὶ ἐλαίου 〈καὶ〉 παγκαρπίας. 〈ἔστι δὲ〉 καὶ ἄνθος τι. ἀμβρόσιον · θεῖον ἢ ἀθάνατον ἢ θαυμαστόν.

alpha 85

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμέργειν · καρπολογεῖν. Ἀριστοφάνης Νήσοις (V 122 M. = fr. ad. 437 K.)· ‘ὁ μέν τις ἀμπέλους τρυγῷν ἄν, ὁ δ’ ἀμέργων ἐλάασ‘. ἁμίδας · τὰ οὐροδόχα ἀγγεῖα.

alpha 87 ἅμιπποι · δύο ἵπποι συνεζευγμένοι τοῖς τραχήλοις χωρὶς δίφρου, κατὰ τὸ παλαιὸν καὶ ‘ξυνωρίσ‘ καλούμενοι. ἦν δὲ ἐπὶ μὲν τοῦ ἑτέρου ἡνίοχος, ἐπὶ δὲ τοῦ ἑτέρου ὁπλίτης. ἀπὸ οὖν τοῦ ἅμα ἀμφοτέρους καθέζεσθαι ἅμιπποι οὗτοι ἐλέγοντο (cf. Thuc. V 57, 2). ἀμνὴν θερίζειν · παροιμία ἐπὶ τῶν χρόνῳ ὕστερον τιμωρουμένων.

alpha 88 ὅταν γὰρ ᾖ ἀμνίον, οὐκ ἀποκείρεται. ἀμνόν · τὸν ἐνιαύσιον ἄρνα.

alpha 89 Ἴστρος ἐν Ἀττικαῖς λέξεσιν (EHG. I 426, fr. 53)· ‘ἄρνα, εἶτα ἀμνόν, εἶτα ἀρνειόν, εἶτα λιπογνώμονα, μοσχίαν δὲ τὸν πρῶτον. 〈ἀρνειὸσ〉 δὲ καὶ ὁ τριέτης κριόσ‘. ἀμολγοί (com.

alpha 90 fr. ad. 1351 K.)· οἱ ἀμέλγοντες τὰ κοινὰ καὶ διαφοροῦντες τὰ δημόσια. ἀμόργη · ἡ τοῦ ἐλαίου ὑποστάθμη καὶ ἡ τρὺξ τοῦ οἴνου.

alpha 92 ἀμόργινος · ὅμοιος βύσσῳ. ἀμοργίς · κυρίως ἡ λινοκαλάμη, ἐξ ἧς ἐνδύματα ἀμόργινα λεγόμενα.

alpha 94 ἀμοργοί · πόλεως ὄλεθροι, Κρατῖνος Σεριφίοις (II 140 M. = fr. 214 K.). καλοῦσι δὲ καὶ μοργοὺς τὸ α ἀφαιροῦντες, ὥσπερ καὶ μαυρὸν τὸ ἀμαυρὸν καὶ σφοδελὸν τὸ ἀσφοδελόν. ἀμπυκάσαι · ἀναδῆσαι, χαλινῶσαι, στεφανῶσαι.

alpha 96 ἀμπυκῖται · διαδήματα. ἴσως διὰ τὸ ἀμπέχειν τὰς τρίχας, ὃ καὶ ἀμπυκίζειν λέγεται. ἄμπυκες · διαδήματα.

alpha 98 ἄμπυξ · χαλινός, συγκάθαμμα, ἐπίκρανον, καλύπτρα, διάδημα, στεφάνη· κατὰ δὲ μεταφορὰν ὁ τροχὸς διὰ τὸ κυκλοτερῆ[ς] εἶναι. Ἄμυρις μαίνεται · θεωρὸς γὰρ 〈ὀνόματι Ἄμυρισ〉 ὑπὸ Συβαριτῶν πεμφθεὶς εἰς Δελφοὺς περὶ εὐδαιμονίας καὶ τοῦ θεοῦ χρήσαντος ἀπώλειαν Συβαριτῶν ἔσεσθαι τότε, ὅταν ἀνθρώπους θεῶν προτιμήσωσιν, ἰδὼν δοῦλον μαστιγούμενον καὶ εἰς ἱερὸν προσφυγόντα καὶ μὴ ἀπολυόμενον, ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πατρὸς μνῆμα καταφυγόντα καὶ ἀπολυθέντα, συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὰ ἴδια ἀπῆρεν εἰς Πελοπόννησον. [5]

alpha 99 καὶ Συβαρῖται μέν, ὃ λογισμῷ πεποίηκεν, εἰς μανίαν ἐδέξαντο ἐπιλέγοντες· ‘Ἄμυρις μαίνεται‘. ὁ δὲ τῷ χρόνῳ διὰ τὴν προσποίητον μανίαν ἐθαυμάσθη. ἀμφαξονεῖν (com.

alpha 100 fr. ad. 925 K.)· τὸ μὴ ἐπ’ εὐθείας πορεύεσθαι καὶ τὸ τὰ γόνατα ἀσθενοῦντας περικλᾶσθαι. ἀμφιδρόμια · ἡμέρα πέμπτη τοῖς βρέφεσιν ἐκ γενέσεως, οὕτω κληθεῖσα παρ’ ὅσον ἐν ταύτῃ καθαίρουσι τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως, καὶ τὸ βρέφος περὶ τὴν ἑστίαν φέρουσι τρέχοντες κύκλῳ, καὶ τοὔνομα τίθενται τούτῳ δῶρά τε πέμπουσι [τῷ παιδίῳ] ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας καὶ σηπίας οἵ τε φίλοι τε καὶ οἰκεῖοι καὶ ἁπλῶς οἱ προσήκοντες.

alpha 102 ἀμφιμάσχαλος χιτών · δύο χειρῖδας ἔχων, ἅσπερ μασχάλας ἐκάλουν, ὃς ἦν τῶν ἐλευθέρων. ὁ δὲ τῶν οἰκετῶν μίαν εἶχε καὶ διὰ τοῦτο ἑτερομάσχαλος ἐκαλεῖτο. ἦν δὲ τοιοῦτος, ἵνα γυμνῷ τῷ ὤμῳ εὐκολώτερον ἐργάζωνται. ἀμφίταποι · τάπητες ἀμφίμαλλοι.

alpha 104 ἀμφιφῶν · πλακοῦς διὰ τυροῦ, ἐφ’ οὗ δᾷδα πήσσοντες ἅπτουσι τοῦ φωτὸς χάριν. ἀμφιφῶντες · πλακοῦντος εἶδος, οἵτινες ἐγίνοντο 〈Μουνυχιῶνος μηνὸς ἕκτῃ ἐπὶ δέκα, οἳ καὶ εἰς τὸ Μουνυχίας ἱερὸν τῆς Ἀρτέμιδος ἐκομίζοντο.

alpha 105 ὠνομάζοντο δὲ ἀμφιφῶντες ὡς μέν τινες, ὅτι τότε ἐγίνοντο〉, ὅτε ὁ ἥλιος καὶ ἡ σελήνη πρωῒ ὑπὲρ γῆς φαίνονται, ὡς δὲ Ἀπολλόδωρος (FG Hist 244, 152), ὅτι ἐκόμιζον αὐτοὺς δᾴδια ἡμμένα περιπηγνύντες ἐπ’ αὐτῶ〈ν〉. ἀμφορεύς ὁ ἀμφιφορεὺς ὑπὸ Ἀθηναίων καλεῖται.

alpha 107 ἀμφώβολα · τὴν διὰ τῶν σπλάγχνων μαντείαν. Σοφοκλῆς (fr. 910 N 2 = 1006 P.). ἀμφωτίδες (Aesch.

alpha 108

fr. 102 N 2 )· ἃς ἔχουσιν οἱ παλαισταὶ περὶ τοῖς ὠσίν. Ἀναγυράσιος δαίμων · [ἐπεὶ τὸν παροικοῦντα πρεσβύτην καὶ ἐκτέμνοντα τὸ ἄλσος ἐτιμωρήσατο Ἀνάγυρος ἥρως.

alpha 109 Ἀναγυράσιοι δὲ δῆμος τῆς Ἀττικῆς] τούτου [δέ] τις ἐξέκοψε τὸ ἄλσος. ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἐπέμηνε τὴν παλλακήν, ἥτις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα διέβαλεν ὡς ἀσελγῆ τῷ πατρί. ὁ δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν. ἐπὶ τούτοις καὶ ὁ πατὴρ ἑαυτὸν ἀνήρτησεν, ἡ δὲ παλλακὴ εἰς φρέαρ ἑαυτὴν ἔρριψεν. ἱστορεῖ δὲ Ἱερώνυμος ἐν τῷ Περὶ τραγῳδιοποιῶν (fr. 4 Hiller) ἀπεικάζων τούτοις τὸν Εὐριπίδου Φοίνικα (p. 621 N 2 ). ἀναίσχυντος καὶ σιδηροῦς ἄνθρωπος (cf.

alpha 110 Ar. Ach. 491)· ἐπὶ τῶν ἀπηρυθριακότων καὶ μηδεμίαν μεταβολὴν τοῦ τρόπου ποιουμένων. Ἀνάκεια · ἑορτὴ Διοσκούρων.

alpha 111 τριττύαν δὲ τὴν θυσίαν ταύτην εἶναι συμβαίνει Διοσκούροις καὶ Ἑλένῃ, δι' ἣν εἰς τὴν Ἀττικὴν ἐμβαλόντες ἐκεῖνοι οὐκ ἠδίκησαν οὐδένα τῶν ἐγχωρίων. ἀνακῶς · ἀντὶ τοῦ φυλακτ 〈ικ〉 ῶς καὶ προνοητικῶς.

alpha 112 Ἡρόδοτος (VIII 109, 4 et I 24, 7) καὶ Θουκυδίδης (VIII 102). ἄναντα · ἄνω, ἀνωφερῆ, δυσχερῆ.

alpha 114* ἀναπίπτειν · τὸ ἀθυμεῖν λέγεται παρὰ τοῖς παλαιοῖς (cf. Thuc. I 70, 5). ἀναρρύει · ἀντὶ τοῦ θύει καὶ σφάττει, Εὔπολις (II 576 M.

alpha 115 = fr. 395 K.). καὶ ἡ θυσία ἀνάρρυσις. ἀνάστατοι · πλακοῦντος εἶδος.

alpha 116 οὗτοι δὲ αὐταῖς ταῖς Ἀρρηφόροις ἐγίνοντο. ἐλέγοντο δέ τινες πλακοῦντες καὶ χαρίσιοι. οὗτοι δὲ ἀπὸ τῶν καταλειπομένων συμμ 〈ε〉 ιγνύμενοι ἐγίνοντο. καὶ δημιουργοὶ ἔπλασσον. Ἀριστοφάνης Δαιταλεῦσι (II 1027 M. = fr. 202 K.)· ‘πέμψω πλακοῦντας ἑσπέρας χαρισίουσ‘. οἱ δὲ ἀμφιφῶντες ἐγίνοντο Μουνυχιῶνος μηνὸς ἕκτη ἐπὶ δέκα, οἳ καὶ εἰς τὸ Μουνυχίας ἱερὸν τῆς Ἀρτέμιδος ἐκομίζοντο. ὠνομάζοντο δὲ ἀμφιφῶντες, ὡς μέν τινες, ὅτι τότε ἐγίνοντο, ὅτε ἥλιός τε καὶ σελήνη πρωὶ ὑπὲρ γῆς φαίνονται, ὡς δὲ Ἀπολλόδωρος (FG Hist 244, 152), ὅτι ἐκόμιζον αὐτοὺς δᾴδια ἡμμένα περιπηγνύντες ἐπ' αὐτῶν. φθοῖς δὲ ἦσαν πέμματα, ἃ τοῖς θεοῖς καὶ μετὰ τῶν σπλάγχνων ἔθυον. αἱ δὲ σεληῖναι πέμματα ἦσαν πλατέα κυκλοτερῆ. πέλανοι δὲ 〈πέμματα ἐκ παιπάλης, τουτέστιν ἀλεύρου λεπτοτέρου,〉 τὰ εἰς θυσίαν ἐπιτήδεια. πόπανα δὲ 〈πλακούντια πλατέα καὶ λεπτὰ καὶ περιφερῆ〉 · καὶ ἐν Ἐρεχθεῖ τὰς σελήνας πελάνους εἴρηκεν Εὐριπίδης (fr. 350 N 2 )· ‘καί μοι, πολὺν γὰρ πέλανον ἐκπέμπεις δόμων, φράσον σελήνας τάσδε πυρίνου χλόησ‘. ἐπὶ δὲ ἓξ σελήναις ‘βοῦν ἕβδομον‘ ἔπεττον κέρατα ἔχοντα κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης. ἔθυον μὲν οὖν καὶ ἐπὶ τέτταρσι ποπάνοις τοῦτον τὸν βοῦν καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν, μᾶλλον δὲ ἐπὶ ταῖς ἓξ ἕβδομον βοῦν. 〈τάττεται δὲ ἡ παροιμία〉 ἐπὶ τῶν ἀναισθήτων. ἀνδραποδώδη τρίχα · τὴν τῶν ἀνδραπόδων ἰδίως κουράν, ἣν ἀπελευθερωθέντες ἤλλασσον Ἀθήνησιν [αἱ] δοῦλαί τε καὶ [οἱ] δοῦλοι.

alpha 118 ἁνεῖν · ἐν ἐκτάσει ἔχει τὸα · δηλοῖ δὲ τὸ πτίσσειν. Φερεκράτης (II 345 M. = fr. 183 K.)· ‘νῦν δ' ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίσσειν, φρύγειν, ἀναβράττειν, ἁνεῖν, ἀλέσαι, μᾶξαι, 〈πέψαι〉 , τὸ τελευταῖον παραθεῖναι‘. καὶ ἐκ τοῦ πτίσσειν καὶ ἁνεῖν ἡ πτισ[σ]άνη. ἀνέμοις θάλασσα δουλεύει · παροιμία ** ἀνεμοκοῖται · οἱ ἀνέμους κοιμίζοντες.

alpha 120* γένος δέ φασι τοιοῦτον ὑπάρχειν ἐν Κορίνθῳ. ἀνερίναστος συκῆ · ᾗ μὴ προσβέβληνται οἱ ἐρινεοί.

alpha 121 ἐρινεὸς δέ ἐστιν ὁ τῆς ἀγρίας συκῆς καρπός, ὃν καὶ ἀπαρτῶσι τοῖς ἡμέροις, ὡς ἂν οἱ ἐξ αὐτῶν καλούμενοι ψῆνες εἰς τοὺς ὀλύνθους μεταστάντες τελεσφορηθῆναι τούτους παρασκευάζωσιν. τοῦτο δ' ἐρινάζειν λέγεται. οἱ δὲ τὸ ἀνερίναστος μαλακὸς καὶ ἄγονος. ἀνηνέχθη · ἀνήνεγκε καὶ ἀνελάμβανεν αὐτόν.

alpha 122

Μένανδρος Ῥαπιζομένῃ (fr. 369 Kö.) 〈καὶ〉 Θεόπομπος (II 819 M. = fr. 66 K.)· ‘ἄφωνος ἐγένετο, ἔπειτα μέντοι πάλιν ἀνηνέχθη‘. ἀνὴρ δὲ φεύγων οὐ μένει λύρας κτύπον · Ἀριστοφάνης Δαιδαλεῦσιν (fr.

alpha 123 11 Dem.) ὡς παροιμιῶδες. ἀνθ’ Ἑρμιόνος (Aristoph.

alpha 124 II 981 M. = fr. 87 K.)· ἐπὶ τῶν [ὁμοίως ἱερὰ] 〈τοὺς ἱκέτασ〉 διασῳζόντων. Ἑρμιὼν γὰρ ἐν Πελοποννήσῳ πόλις Κόρης καὶ Δήμητρος ἄσυλος ὥστε σκέπην παρέχειν τοῖς ἱκετεύουσιν. ἄνθρακες ὁ θησαυρὸς ἦσαν · ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθά, κακουμένων δὲ ἀφ’ ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς.

alpha 126 ἀντωμοσία · δίκη ἀντωμοσμένη. προώμνυε μὲν γὰρ ὁ διώκων δικαίως κατηγορεῖν—ἣν δὲ τοῦτο καὶ κατωμοσία—, ἀντώμνυε δὲ ὁ φεύγων ἀδίκως ἐγκαλεῖσθαι. διωμοσία δὲ ὁ ἑκατέρωθεν γινόμενος ὅρκος τοῦ μὲν ὡς πράξαντα διώκει, τοῦ δὲ ὡς οὐκ ἔπραξεν. ὑπωμοσία δὲ ἀπόδοσις αἰτίας, δι’ ἣν οὐκ ἀπήντησέ τις πρὸς τὴν δίκην. ἐξωμοσία δὲ ἄρνησις σὺν ὅρκῳ ὡς ἀδυνατοῦντος ποιεῖν τὸ προσταττόμενον ἢ παρὰ καιρὸν ὄντος αὐτῷ τοῦ λειτουργεῖν. Ἄορνος · λίμνη περὶ Τυρσηνίαν. [5]

alpha 127 ** δέ φησι καὶ ἐν Κύμῃ τῇ Χαλκιδικῇ Ἄορνον λίμνην εἶναι, περὶ ἣν πεφυκότων πολλῶν δένδρων μηδὲν τῶν ἀποπιπτόντων φύλλων ἐμπίπτειν εἰς αὐτήν. εἶναι δὲ καὶ νεκυομαντεῖον ἐν ταύτῃ τῇ λίμνῃ Σοφοκλῆς (fr. 682 N 2 = fr. 748 P.) ἱστορεῖ. ἀπ’ αἰγείρου θέα καὶ παρ’ αἴγειρον (Crat.

alpha 128 II 189 M. = fr. 339 K.)· ἡ ἀπὸ τῶν ἐσχάτων. αἴγειρος γὰρ ἐπάνω ἦν τοῦ θεάτρου, ἀφ’ ἧς οἱ μὴ ἔχοντες τόπον ἐθεώρουν. ἅπαν· ὁ λόγος βραχύνειν ἀξιοῖ.

alpha 129* τὰ γὰρ παρασχηματιζόμενα τοῖς εἰς ας οὐδέτερα βραχύνονται, οἷον μέλαν, τάλαν, ἅπαν. ἀπεγλαψάμην · ἀπεπνευσάμην, ἐκενωσάμην.

alpha 130* ἔστι δὲ γλάψαι καὶ τὸ κοιλᾶναι καὶ βαθῦναι, ἀπογλάψασθαι 〈δὲ〉 καὶ τὸ 〈τὰ〉 λίαν καὶ διὰ βάρους 〈ταῖς ψυχαῖς ἐγγεγραμμένα ἀπαλεῖψαι. ** 〉 (FCG. IV 628 M. = fr. ad. 574 K.)· ‘τὸν ἄνδρ’ ἀπεωσάμην τε κἀπεγλαψάμην‘, ἀπέξεσα καὶ ἀπήλειψα ὡς ἀπὸ βιβλίου. ἀπεσίμωσε · ὕψωσε καὶ πρὸς τὸ λαμπρότατον ἤγαγε. [5]

alpha 132 ἀπεσκοτωμένα · ἐσκιαγραφημένα, κεχρωσμένα. τὰς γὰρ χρίσεις σκότη καλοῦσιν οἱ ζωγράφοι. οὕτως Ἀριστοφάνης (II 1205 M. = fr. 712 K.). ἀπηδέσθη · ἀπεβρώθη.

alpha 133 Πλάτων Σοφισταῖς (II 662 M. = fr. 138 K.)· ‘ἐν τρισίν πληγαῖς ἀπηδέσθη τὸ ῥάμφοσ‘. ἀπομαγδαλιά · σταῖς, ὃ ἔφερον ἐπὶ τὸ δεῖπνον.

alpha 134 εἰς τοῦτο τὰς χεῖρας ἀποματτόμενοι εἶτα τοῖς κυσὶν ἔβαλλον. διὸ κυνά〈δα〉 αὐτὴν Διοσκουρίδης προσαγορεύει (deest FHG II 192ss.). ἀπομάγματα καὶ ἀπόμακτρα · τὰ ἀποκαθάρματα, καὶ ἀπομάκται· 〈οἱ περὶ〉 τὰ αὐτὰ ταῦτα.

alpha 136 ἀποξιφίσαι · ἐξορχήσασθαι. ὁ γὰρ ξιφισμὸς εἶδος ὀρχήσεως. ἀποτυχίσαι · ἀποπελεκῆσαι λίθον, καὶ ἀποτυχισθείς· ἀποτιλθείς, ἀπὸ τύχου· ἔστι δὲ λιθοξοϊκὸν σιδήριον.

alpha 138 ἀποφοιτᾶν · τὸ παύσασθαι φοιτῶντα, ὅ ἐστι μανθάνοντα. οὕτω Λυσίας (fr. 309 Th.). ἀπόψυξις · ἡ ἀποπνευμάτωσις.

alpha 140 ἀπυνδάκωτος · ἀπύθμενος. Σοφοκλῆς (fr. 554 N 2 = 611 P.)· ‘ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ‘. καὶ τὴν λαβὴν τοῦ ξίφους πύνδακα εἴρηκεν (fr. 290 N 2 = 311 P.). Ἀράβιος αὐλητής · τίθεται ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων.

alpha 141 τὸ παλαιὸν γάρ φασι τοὺς ἐλευθέρους μὴ μανθάνειν αὐλεῖν διὰ τὸ βάναυσον. τῶν δὲ ἀνδραπόδων τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια, ἐφ’ ὧν ἐλέχθη παροιμία (df. Zen. II 58; G. Cypr. I 32)· ‘δραχμῆς μὲν ηὔλει, τεττάρων δ’ ἐπαύετο‘. καὶ Κάνδαρος Μηδείᾳ (II 835 M. = fr. 1 K.)·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

‘κιθαρῳδὸν ἐξηγείρατ’ Ἀράβιον χορόν‘. καὶ πάλιν Μένανδρος ἐν Ἀνατιθεμένῃ ἢ Μεσσηνίᾳ (fr. 30 Kö.)· ‘Ἀράβιον ἆρ’ ἐγὼ κεκίνηκ’ ἄγγελον;‘ Ἀργεία φορά (com.

alpha 142 fr. ad. 849 K. cf. Ar. II 965 M. = fr. 57 K.)· ἐσκώπτοντο γὰρ οἱ Ἀργεῖοι ὡς φιλόδικοι καὶ συκοφάνται. ἀργεϊφόντης · ὁ ὀφιοκτόνος.

alpha 143 ἀργῆν γὰρ ἔνιοι τὸν ὄφιν καλοῦσιν. ἄρδαλον · ῥύπον ἢ μολυσμόν, καὶ γὰρ τὸ μολῦναι ἢ ῥυπᾶναι ἀρδαλῶσαι λέγεται, καὶ ἄρδαλος ἄνθρωπος ὁ μὴ καθαρῶς ζῶν.

alpha 144* καὶ ἄρδα 〈ῥύπος τις καὶ ἀκαθαρσία〉 . Φερεκράτης ἐν Θαλάττῃ (II 276 M. = fr. 53 K.)· ‘τὸν ἱδρῶτα καὶ τὴν ἄρδαν ἀπ’ ἐμοῦ σπόγγισον‘. καὶ Φιλήμων ἐν Πανηγύρει (IV 18 M. = fr. 59 K.)· ‘Αἰγύπτιος θοἰμάτιον ἠρδάλωσέ μου‘. ἀρδάνια · κεραμίων γάστραι, ὅθεν τὰ βοσκήματα ἐπότιζον, ἀπὸ τοῦ ἄρδειν.

alpha 145* Δωριεῖς δὲ κύμβαλα ἐκάλουν. ἐτίθετο δὲ καὶ πρὸ τῆς θύρας ὕδατος πλήρη, ὁπότε τις τελευτήσειεν, ἵνα οἱ ἐξιόντες πρὸς ἀφαγνισμὸν περιρραίνωνται. ἐχρῶντο δὲ καὶ αἱ γυναῖκες τῷ ἀρδανίῳ αἱ τὴν κρίκην τρίβουσαι ἐπὶ τοῦ ἐπινήτρου. ἀρειθύσανοι · Ἄρεος θύσανοι οἱονεὶ ἀποσχίσματα παρ’ Αἰσχύλῳ ἐν Προμηθεῖ Λυομένῳ (fr.

alpha 146 203 N 2 ). Ἄρειος πάγος · δικαστήριον Ἀθήνησιν ἐν ἀκροπόλει.

alpha 147 ἦσαν οὖν Ἀθήνησι βουλαὶ δύο, ἡ μὲν τῶν πεντακοσίων καθ’ ἕκαστον ἐνιαυτὸν κληρουμένη βουλεύειν, ἡ δὲ εἰς βίον 〈ἡ〉 τῶν Ἀρεοπαγιτῶν. ἐδίκαζε δὲ τὰ φονικὰ καὶ τὰ ἄλλα πολιτικὰ διῴκει σεμνῶς. ἐκλήθη δὲ Ἄρειος πάγος ἤτοι ὅτι ἐν πάγῳ ἦν καὶ ἐν ὕψει τὸ δικαστήριον, Ἄρειος δὲ ἐπεὶ τὰ φονικὰ ἐδίκαζε, ὁ δ’ Ἄρης τούτων ἔφορος 〈ἦν〉 , ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ ὁ Ἄρης ἐν τῇ πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιρροθίου δίκῃ, ὅτε ἀπέκτεινεν αὐτὸν βιασάμενον Ἀλκίππην τὴν αὑτοῦ καὶ Ἀγραύλου τῆς Κέκροπος θυγατρός, ὥς φησιν Ἑλλάνικος ἐν α′ (FG Hist 4, 38). ἀρηνοβοσκός · ὁ προβατοβοσκός.

alpha 148 (Soph. fr. 594 N 2 = 655 P. cf. lex. an. fr. 1). ἄριστα χωλὸς οἰφεῖ (com.

alpha 149 fr. ad. 36 K.)· ἐπὶ τῶν οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων ἢ τὰ ἀλλότρια ἀγαθά. τῶν γὰρ Σκυθῶν ποτε ταῖς Ἀμαζόσι πολεμούντων καὶ ἀνοχῆς γενομένης, τά τε ἄλλα φιλοφρονουμένων καὶ φασκόντων αὐταῖς, ὅτι εἰ τούτοις πεισθεῖεν, ἀπηρώτοις συνέσονται ἀνδράσιν, ἀλλ’ οὐχὶ λελωβημένοις καὶ χωλοῖς καὶ ἀχρείοις ὡς οἱ παρ’ αὐταῖς, Ἀντιάνειρα ἡ τούτων ἡγουμένη, θρασεῖα ἅμα καὶ ἀκόλαστος οὖσα, εἶπε πρὸς αὐτούς· ‘ἄριστα χωλὸς οἰφεῖ‘ ἀντὶ τοῦ συνουσιάζει. αἱ γὰρ Ἀμαζόνες τῶν τικτομένων παρ’ αὐταῖς ἀρρένων ἐπήρουν τὰ σκέλη ἢ τὰς δεξιὰς χεῖρας. [δῆλον οὖν ὅτι χωλοῖς ἀνδράσιν ἐχρῶντο]. ἀριστερεών · φυτὸν ἐπιτήδειον εἰς καθαρμόν.

alpha 151 Ἀρκάδας μιμούμενοι · ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων· μαχιμώτατοι γὰρ ὄντες αὐτοὶ μὲν οὐδέποτε 〈ἰδίαν νίκην〉 ἐνίκησαν, ἄλλοις δὲ αἴτιοι νίκης πολλοῖς ἐγένοντο. ταύτῃ δὲ τῇ παροιμίᾳ κέχρηται Πλάτων ἐν Πεισάνδρῳ (II 651 M. = fr. 99 K.). διὰ γὰρ τὸ τὰς κωμῳδίας αὑτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν Ἀρκάδας μιμεῖσθαι ἔφη. Ἀρκὰς κυνῆ · Ἀρκαδικὸς πῖλος.

alpha 152 (Soph. fr. 250 N 2 = 272 P.). Ἀρκὰς φελλός · φελλὸς παρὰ Ἀρκάσι μέσον τι πρίνου καὶ δρυός, ὃ ἔνιοι θηλύπρινον καλοῦσιν.

alpha 153 οὕτως Ἐρατοσθένης (fr. 16 Streck.). ἄρκυες · λίνα περιτιθέμενα θηρίοις, ἀπὸ τῶν ἑρκῶν.

alpha 154 Ἀττικοὶ δασέως, 〈ὡς〉 ἁρκυωρὸς ὁ τῶν ἁρκύων φύλαξ, ἀφ’ οὗ ἁρκυωρεῖν, ὅ ἐστι φυλάσσειν. Εὔπολις (II 555 M. = fr. 313 K.)· ‘σὺ δὲ τὰ καλώδια ταῦθ’ ἁρκυώρει‘. Ἅρμα · τόπος τῆς Ἀττικῆς.

alpha 155 καὶ παροιμία· ‘ὁ 〈πό〉 ταν δι’ Ἅρματος ἀστράψῃ‘ ἐπὶ τῶν χρονίως γινομένων. ἀρράβακα · ὀρχηστὴν ἢ βλάσφημον.

alpha 156 ἀπὸ τοῦ ἀρραβάσσειν, ὅ ἐστιν ὀρχεῖσθαι. ἀρρενωπάδες · ἀνδρόγυνοι.

alpha 158

ἄρριχος · κόφινος ἐπιτήδειος εἰς συγκομιδὴν σταφυλῶν. τὸ δὲ πλέγμα ἀπὸ οἰσύας. ἀρχὴ Σκυρία · παροιμία ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, παρόσον πετρώδης καὶ λυπρὰ καὶ διὰ τοῦτο πενιχρὰ ἡ Σκῦρος, οὐδὲν φέρουσα λόγου ἄξιον.

alpha 159 οἱ δὲ ἀπὸ Θησέως, ἐπειδὴ ἐπιθέμενος τῇ Λυκομήδους ἀρχῇ καὶ πειρῶν τὴν γυναῖκα αὐτοῦ ἐκεῖ κατακρημνισθείη. ὀστρακισθῆναι δὲ πρῶτον Ἀθήνησι Θησέα ἱστορεῖ Θεόφραστος ἐν Τοῖς πρώτοις καιροῖς (fr. 131 Wi.). ἄρχοντες · Ἀθήνησιν ἐννέα· ἄρχων, βασιλεύς, πολέμαρχος, οἱ ἓξ θεσμοθέται.

alpha 161 〈 Ἀσκώλια · ἑορτὴ Ἀθήνησιν, ἧ〉 τιμῶντες τὴν εὕρεσιν τοῦ οἴνου ᾄδειν ἐφεῦρον καὶ τοὺς ἑαυτῶν κωμήτας κακολογεῖν, ὅτε καὶ τὴν λυμαινομένην ταῖς ἀμπέλοις αἶγα ἆθλον τῆς ᾠδῆς προε〈τί〉θεντο καὶ οἱ νικήσαντες ἐνήλλοντο τῷ ἀσκῷ. καὶ ἦν τοῦτο ἀσκωλιάζειν. τοὺς δὲ ὑστέρους κριθέντας ἑτέραν ἔδει αἶγα ἐπὶ τὴν εἰρημένην χρείαν ἐκδεῖραι καὶ τὸν χορηγὸν αὖθις μισθοῦσθαι 〈αὐ〉τοὺς ἐναλ[λ]ο〈υ〉μένους τῷ ἀσκῷ· τοὺς δὲ νικῶντας μηκέτι τοῦτο πράττειν, ἀλλὰ ἡσυχάζειν. ἀσπάθητον χλαῖναν (Soph.

alpha 162 fr. 793 N 2 = 877 P.)· τὴν δορὰν ἀνύφαντον. ἀστόξενοι · οἱ γένει προσήκοντες τῇ πόλει τὸ ἀνέκαθεν, οὐκ ὄντες δὲ πολῖται, ὡς ἐν Κορίνθῳ Γλαῦκος ὁ Ἱππολόχου τοῦ Βελλεροφόντου.

alpha 164 ἀστράγαλος · κυρίως τὸ συνήθως λεγόμενον καὶ ὁ σφόνδυλος τοῦ τραχήλου καὶ ὁ πεττικός· καὶ βοτάνη δὲ οὕτω καλεῖται. ἀσφόδελος · σκιλλῶδες φυτὸν φύλλα ἔχον μακρὰ καὶ ἀνθέρικον ἐσθιόμενον.

alpha 165* καὶ τὸ σπέρμα δὲ αὐτοῦ φρυγόμενον καὶ ἡ ῥίζα κοπτομένη μετὰ σύκων πλείστην ὄνησιν ἔχει. Περσεφόνης καὶ χθονίων ἱερόν. καὶ Ῥόδιοι τὴν Κόρην καὶ τὴν Ἄρτεμιν ἀσφοδέλῳ στέφουσιν. ἀτελῆ · ἀδάπανα, ὡς καὶ πολυτελῆ τὰ πολυδάπανα.

alpha 167 αὐλός · τὸ στάδιον, καὶ ἐν συνθέσει δίαυλος. αὐλών · ἔστι μὲν τόπος ἐπιμήκης καὶ στενὸς ἀγκάλαις οἷον περιεχόμενος.

alpha 168 λέγεται δὲ ἰδίως καὶ τόπος τῆς Ἀττικῆς καὶ αὐτὸς ἐπιμήκης ὢν καὶ στενός. Αἰσχύλος δέ φησι (fr. 419 N. 2 ) καὶ τὴν τάφρον αὐλῶνα. αὐλωτοὶ φιμοί · οἱ κημοί.

alpha 169 διὰ τὸ κώδωνας προσῆφθαι αὐτοῖς, οἷς ἐμφυσῶντες οἱ ἵπποι φωνὴν σάλπιγγος προίεντο. ** οὕτως (Aesch. fr. 326 N 2 )· ‘ὃς εἶχε πώλους τέτταρας ζυγηφόρους φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένασ‘. αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν (Ar.

alpha 170 Thesm. 928)· ἀντὶ τοῦ αὕτη ἡ μηχανὴ οὐδὲν ἤνυσεν. ἐπὶ τῶν ἐπιχειρούντων τι ποιεῖν καὶ ἀποτυγχανόντων. αὐτόχθων ἑστία · ἡ τοῦ Χείρωνος.

alpha 172 αὐτοχόωνος · 〈αὐτοχώνευτοσ〉 . ὁ ἐξ αὐτῆς τῆς χωνείας 〈τὸ τέλειον ἔχων〉 , ἄλλην μηδεμίαν προσειληφὼς ἐπισκευήν. ἀφάδιον · τὸ ἐχθρὸν καὶ ἀπαρέσκον.

alpha 174 ἀφέλεια · ἁπλότης ἢ μεγαλεῖόν τι καὶ ἐνδοξότης. ἀφ’ ἑστίας ἀρχόμενος · ἐκ τῶν κρειττόνων ἢ καὶ ἐκ τῶν οἰκείων.

alpha 175 ἑστία γὰρ ἡ οἰκία. μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων. ἔθος γὰρ ἦν, τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι (cf. Paus. ε 76). ἀφ’ ἱερᾶς · παροιμία· ‘κινήσω τὸν ἀφ’ ἱερᾶσ‘.

alpha 176 λέγεται δέ τις παρὰ τοῖς πεσσεύουσιν ἱερὰ γραμμή. οὕτως Ἐπίχαρμος (fr. 225 Kaib.). ἄφλαστον · τὸ ἀκροστόλιον, Ἀπολλόδωρος (FG Hist 244, 240).

alpha 177 ὁ δὲ Δίδυμος (p. 79, fr. 48 Schm.) τὸ ἐπὶ τῆς πρύμνης εἰς ὕψος ἀνατεταμένον ἐκ κανονίων πλατέων ἐπικεκαμμένων. ἀφύα ἐς πῦρ · ἐπὶ τῶν τέλος ὀξὺ λαμβανόντων ἡ παροιμία, παρόσον καὶ τὴν ἀφύαν τάχιστα ἕψεσθαι συμβαίνει.

alpha 179 ἀχάνη · μέτρον Βοιώτιον πολλῶν τινων μεδίμνων. οὕτως Ἀριστοτέλης (fr. 566 R.). ἀχέτας (Ar.

alpha 180

av. 1095; pax 1195)· ὁ τέλειος τέττιξ. Ἀχιλλεία · ἡ μᾶζα.

alpha 181 Ἀχίλλεια δὲ τὰ ἐν αὐτῇ ἄλφιτα. Ἀριστοφάνης Ἱππεῦσιν (819). ἁψίς · ξύλινος κύκλος τροχοῦ.

alpha 182 τὸ δ' ἐπ' αὐτοῦ σιδηροῦν ἐπίσωτρον. Ὅμηρος δὲ τὸν μὲν τροχὸν ὅλον κύκλον ὀνομάζει, τὴν δὲ ἁψῖδα ἴτυν (cf. e. g. Ψ 340; Δ 486). βάλλ' ἐς Μακαρίαν · οἷον εἰς Ἅιδου.

beta 1 Μακαρία γὰρ ἡ Ἡρακλέους, ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις, ἑαυτὴν ἐπέδωκε σφάγιον ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας. τὸ δ' αὐτὸ τοῦτο καὶ οὕτω λέγουσιν· 'ἐς Μακαρίαν' καὶ 'εἰς Μακαρίαν'. βαμβαίνων · βῆμα[τα] 〈πρὸ βήματοσ〉 βαίνων, κατὰ βῆμα πορευόμενος καὶ παπταίνων.

beta 2 βαμβαλύζων δὲ (cf. Hipp. fr. 24b D 2 ) ῥιγῶν, ἀπολλύμενος. βασανίζειν · οὐ τὸ αἰκίζεσθαι καὶ τιμωρεῖσθαι παρὰ τοῖς Ἀττικοῖς, ἀλλὰ τὸ χωρὶς πληγῶν ἀνακρίνειν καὶ δοκιμάζειν καὶ ἐλέγχειν τἀληθὲς διὰ λόγων.

beta 3 βάσανος γάρ ἐστι λίθος ἡ Λυδία λεγομένη ἡ τὸ χρυσίον παρατριβόμενον δοκιμάζουσα. βατήρ · τὸ ἄκρον τοῦ τῶν πεντάθλων σκάμματος, ὅθεν καὶ παροιμία (cf.

beta 4 Diog. pers. III 38) 'αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου', οἷον τὸ ἐπικαιρότατον καὶ τὸ πρῶτον. Βάττου σίλφιον · ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων.

beta 5 οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον, καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν. οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου. βέβληται βαλών · παροιμία 〈ἐπὶ ** 〉 · Ἡρακλῆς γὰρ ἐν Ὀλυμπίᾳ ἀνδριάντα ἰδὼν καὶ νομίσας ληστρικόν τινα εἶναι ἄνδρα ἐπαφῆκε λίθον, ὃς ἀναστραφεὶς βέβληκε τὸν Ἡρακλῆν.

beta 7* Βέλλερος · ** Βελλεροφόντης καθ' ἑαυτοῦ γράμματα (cf.

beta 8 Z 155ss.)· ἐπὶ τῶν τοιαῦτά που ἀγγελλόντων, ἐξ ὧν βλάπτονται. βίος ἀκανθώδης · ὁ τραχὺς καὶ σκληρός, ὁ παλαιός.

beta 9 καὶ βίος ἀληλεσμένος· ὁ εὐχερὴς καὶ ἡδύς. βλακικά · εὐήθη, μωρά, ἀνόητα.

beta 10 εἴρηται δὲ ἀπὸ ἰχθύος καλουμένου βλακός, ὁμοίου σιλούρῳ, ἀχρήστου τοσοῦτον ὡς μηδὲ κυνὶ βρώσιμον εἶναι. Πολιτείας τετάρτῃ (Plat. rep. 432d)· 'βλακικόν τε ἡμῶν τὸ πάθοσ', ὡς εἰ λέγοι τις πνευμονίαν, ἀπὸ τοῦ θαλαττίου ζῴου ὄντος ἀναισθήτου. οἱ δὲ ἀπὸ τοῦ ἐν Κύμῃ χωρίου τῆς Βλακείας, οὗ μνημονεύει καὶ Ἀριστοτέλης (fr. 525 R.). καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τι βλακεννόμιον, ὃ οἱ ἀστρολόγοι τελοῦσι διὰ τὸ τοὺς μωροὺς εἰσιέναι πρὸς αὐτούς. βλεπεδαίμων · ὁ διεστραμμένος τὰς ὄψεις καὶ οἷον ὑπὸ δαίμονος πεπληγώς. [5]

beta 11 ** δὲ (FCG. IV 625 M. = fr. ad. 85 K.) καὶ τοὺς Σωκρατικοὺς οὕτως ἔλεγεν. βλωμός · ἁδρότερος τῶν ψωθίων καὶ ἀτταράγων.

beta 13 βοΐδης · πρᾷος, εὐήθης. Μένανδρος (fr. 833 Kö.). βουνός · 〈λόφοσ〉 .

beta 14 Φιλήμων ἐν Νόθῳ (IV 46 M. = fr. 142 K.) 〈ἄλλοτε μὲν〉 ὡς σύνηθες τίθησι, ἄλλοτε δὲ ὡς ξενικὸν ἐπισκώπτει. εἰπόντος γάρ τινος· 'βουνὸν ἐπὶ ταύτῃ καταλαβὼν ἄνω τινά—' ὁ προσδιαλεγόμενος οὐ συνεὶς τὸ ξένον τοῦ ὀνόματός φησι· 'τίς ἐσθ' ὁ βουνός; ἵνα σαφῶς σου μανθάνω.' βουπλήξ · βούκεντρον. [5]

beta 16 βούπρῳρος · θυσία τις ἐξ ἑκατὸν προβάτων καὶ βοὸς ἑνὸς προηγουμένου οἷα νηὸς πρῴρας. βοῦς ἔβδομος · πέμματα κέρατα ἔχοντα κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης.

beta 17 ἐκάλουν δὲ αὐτὸ βοῦν προστιθέντες καὶ τὸ ἔβδομον, ὅτι ἐπὶ ἓξ ταῖς σελήναις ἐπεθύετο οὗτος ἔβδομος, ὡς Εὐθυκλῆς ἐν Ἀταλάντῃ (II 890 M. = fr. 2 K.). ὁμοίως δὲ καὶ αἱ σελῆναι πέμματα πλατέα κυκλοτερῆ, ἃ καὶ οὕτως ἐκάλουν. ἔστι δὲ παρὰ Εὐριπίδῃ ἐν Ἐρεχθεῖ (fr. 350 N. 2 ) καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρ’ Ἀχαιῷ ἐν Ἴριδι (fr. 23 N. 2 ). τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἄγαν ἀναισθήτων. βοῦς ἐν αὐλίῳ κάθηται (Crat.

beta 18* II 35 M. = fr. 32 K.)· παροιμία ἐπὶ τῶν ἀχρήστων. βοῦς ἐπὶ γλώττης · παροιμία ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι ἢ διὰ τὴν ἰσχὺν τοῦ ζῴου ἢ διὰ τὸ τῶν Ἀθηναίων νόμισμα ἔχειν βοῦν ἐγκεχαραγμένον, ὅπερ ἐκτίνειν ἔδει τοὺς πέρα τοῦ δέοντος παρρησιαζομένους.

beta 20 βρίκελος · Κρατῖνος Σεριφίοις (II 140 M. = fr. 205 K.)· ‘ ⟨αἶρ’⟩ αἶρε δεῦρο τοὺς βρικέλουσ‘. ἔστι δὲ βαρβαρικὸν τὸ ὄνομα, τίθεται δὲ [καὶ] ἐπὶ προσώπων τραγικῶν καὶ εἴρηται οἱονεὶ βροτῷ [ε]ἴκελος ἢ Βριξὶν [ε]ἴκελος. Βρίγες γὰρ ἔθνος βαρβαρικόν. βριμοῦσθαι · τὸ μετά τινος ἀπειλῆς ἐκφοβεῖν.

beta 22 βρόμος · κυρίως ⟨ἦχοσ⟩ ἐπὶ ἀνέμου καὶ ἐπὶ πυρός· λέγεται δὲ καὶ σπέρμα λεπτῇ κριθῇ ὅμοιον. βρωμᾶσθαι · ὀγκᾶσθαι, τὸ βρώμης, ὅ ἐστι βρώσεως ⟨ἢ⟩ τροφῆς, δεῖσθαι· τίθεται ἐπὶ ὄνων πεινώντων.

beta 24* βύβλος · φυτὸν φυόμενον ἐν τοῖς Αἰγυπτιακοῖς ἕλεσιν, ῥάβδος ψιλή, ἐπ’ ἄκρῳ χάρτην ἔχουσα, φυομένη πολλὴ καὶ ἐν τοῖς κάτω μέρεσι τοῦ Δέλτα ** . βυσαύχην · ὁ τὸν αὐχένα συνέλκων καὶ τοὺς ὤμους ἀνέλκων.

beta 26 βωμολόχος · ὁ περὶ τοὺς βωμοὺς λοχῶν ὑπὲρ τοῦ λαβεῖν τι παρὰ τῶν θυόντων. μεταφορικῶς δὲ καὶ ὁ παραπλησίως τούτῳ ὠφελείας ἕνεκά τινος κολακεύων. καὶ βωμακεύματα καὶ βωμολοχεύματα. Ἀπολλόδωρος δὲ ὁ Κυρηναῖος (quo de v. Ath. 487 b) ὡς εὐτράπελον καὶ γελωτοποιόν, τινὲς δὲ τὸν μετά τινος εὐτραπελίας κόλακα, καὶ τὸν πανοῦργον καὶ συκοφάντην. γαῖσον · ἐμβόλειον ἢ δόρυ ὁλοσίδηρον.

gamma 2 γαλερόν · γαληνόν, ἥσυχον, προσηνές. γεννῆται · οὐχ οἱ ἐκ γένους καὶ ἀφ’ αἵματος προσήκοντες, ἀλλ’ οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φρατρίας.

gamma 3 οὗτοι δέ εἰσι καθάπερ οἱ δημόται καὶ φράτορες νόμῳ τινὶ ἔχοντες κοινωνίαν. τὸ δὲ γένος ἔχει ἄνδρας τριάκοντα. αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττῦς, ὅτι τεσσάρων φυλῶν οὐσῶν εἰς τρία ἑκάστην διεῖλον μέρη, τὰς μὲν φυλὰς τέσσαρας ποιήσαντες, ἀπομιμησάμενοι τὰς τοῦ ἐνιαυτοῦ ὥρας, τὰς δὲ φρατρίας καὶ τριττῦς δυοκαίδεκα, καθάπερ οἱ μῆνες, τὰ δὲ γένη τριάκοντα ἐν ἑκάστῃ φρατρίᾳ, καθάπερ αἱ ἡμέραι τριακόσιαι ἑξήκοντα. γέρρα · σκηνώματα.

gamma 4* Δημοσθένης (XVIII 169)· ‘τὰ γέρρα ἐνεπρίμπρασαν‘. καὶ Περσικὰ ὅπλα καὶ παρὰ Σικελοῖς τὰ ἀνδρεῖα καὶ γυναικεῖα αἰδοῖα, καὶ περιφράγματα. ἐπὶ σταυροῦ δέ φησιν Εὔπολις (II 576 M. = fr. 405 K.). γέρων · ξύλον στυλίδι παραπλήσιον ἔχον κεφαλὴν γεροντοειδῆ, πλαστήν, γλυπτὴν καὶ χεῖρας ὡς Ἑρμοῦ τετραγώνου, ἐξ ὧν ἐκρέματο τὰ νηθόμενα στυππεῖα.

gamma 6 γιγγρί · ἐπιφώνημά τι ἐπὶ καταμωκήσει λεγόμενον. Γιγγρών · ἀφροδισιακὸς δαίμων, διακονήσας τῇ Ἄρεως καὶ Ἀφροδίτης μοιχείᾳ.

gamma 8 γλαῦκ’ Ἀθήναζε · ἐπὶ τῶν ἄλλοθεν μάτην τὰ πλεονάζοντα ὡς σπάνιά τινα ἐμπορευομένων, ὡς τὸ ‘πύξον ἐς Κύτωρον ἤγαγεσ‘ ἢ ‘ἰχθὺν εἰς Ἑλλήσποντον‘. γλεῦξις · οἶνος πολὺ ἕψημα ἔχων.

gamma 10 γλυκὺς ἀγκών · παροιμία ἀπὸ τοῦ κατὰ τὸν Νεῖλον ἀγκῶνος. ἐκεῖνος δὲ γλυκὺς κατ’ εὐφημισμόν· μακρὸς γάρ ἐστι καὶ ἐργώδης. μέμνηται δὲ αὐτοῦ Πλάτων ἐν Φαίδρῳ (257d), ὥστε τὸ ‘γλυκὺς ἀγκών‘ [παροιμιωδῶς] μοχθηρίαν τόπου ὑποδηλοῖ. γνῶθι σαυτόν · ἀπόφθεγμα Χ ⟨ε⟩ ίλωνος.

gamma 11 τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ὑπὲρ ὅ εἰσι κομπαζόντων. γραῦς (Ar.

gamma 12 Plut. 1206)· τὸ ἐπαφρίζον ἐν ταῖς χύτραις, καὶ ἡ ἐπὶ τοῦ ζωμοῦ, ἣ καὶ ἐπίπαγος καλεῖται. γρόνθων · ἀναφύσησίς τις, ἣν πρώτην μανθάνουσιν οἱ αὐληταί.

gamma 14 γυναῖκες εἰλίποδες · διὰ τὴν εἴλησιν τῶν μηρῶν. γυρῖνοι · Ἀττικοί, γερῖνοι Ἴωνες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

gamma 15 〈μικροὶ〉 βάτραχοι, γυροὶ τὸ σχῆμα, τοὺς πόδας οὔπω ἔχοντες. Δάειραν Φερεκύδης ἱστορεῖ (FG Hist 3, 45) Στυγὸς ἀδελφήν.

delta 1 καὶ ἔοικε οὕτως ἔχειν, ἐπὶ γὰρ ὑγρᾶς οὐσίας τάττουσιν οἱ παλαιοὶ τὴν Δάειραν. διὸ καὶ πολεμίαν τῇ Δήμητρι νομίζουσιν· ὅταν γὰρ θύηται αὐτῇ, οὐ πάρεστιν ἡ τῆς Δήμητρος ἱέρεια καὶ οὐδὲ τῶν τεθυμένων γεύεσθαι αὐτὴν ὅσιον. φαύλως οὖν ὁ Φανόδημος (FHG II 369, fr. 21) Ἀφροδίτην νομίζει τὴν Δάειραν καὶ τὴν αὐτὴν τῇ Δήμητρι λέγει. ἔτι δὲ φαυλότερον οἱ τὴν Ἥραν Δάειραν 〈ὀνομάζοντες ὡς δάειραν〉 τῆς Δήμητρος ἀποδιδόντες· [δάειρα γάρ φασιν ἡ τοῦ ἀνδρὸς ἀδελφή.] τινὲς δὲ φύλακα Περσεφόνης ὑπὸ Πλούτωνος ἀποδειχθῆναί φασι τὴν Δάειραν. Δαιδάλου ποιήματα · ἐπειδὴ οἱ παλαιοὶ δημιουργοὶ 〈τὰ ζῷα〉 συμμεμυκότας 〈ἔχοντα〉 τοὺς ὀφθαλμοὺς ἐποίουν 〈καὶ οὐ διεστηκότας τοὺς πόδασ〉, ὁ δὲ Δαίδαλος ἀνεπέτασεν τὰ τούτων βλέφαρα καὶ τοὺς πόδας διέστησε.

delta 3* δαιταλεῖς · δαιτυμόνες καὶ θιασῶται καὶ συμπόται καὶ οἷον συνδαιταλεῖς. οὕτως Ἀριστοφάνης (II 1020ss. M. = p. 438 K.). δανά · εὐκέαστα, ξηρά· παρὰ τὸ δαίεσθαι.

delta 5 δαυλόν · τὸ δασύ. Αἰσχύλος (fr. 27 N. 2 )· ‘δαυλὸς ὁ’ ὑπήνη καὶ γενειάδος πυθμήν‘. δελφίς · ὄργανον πολεμιστήριον πρὸς ναυμαχίαν, ὅθεν καὶ δελφινοφόρος ναῦς παρὰ Θουκυδίδῃ (VII 41, 2).

delta 7 δενδρυάζειν · κυρίως εἰς τὰς δρῦς καταδύεσθαι, καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ ἁπλῶς δύνειν καὶ κρύπτεσθαι, ἀπὸ τῶν παλαιῶν ταῖς δρυσὶ σκέπῃ χρωμένων· τοὺς γὰρ παλαιοὺς τῶν ἀνθρώπων πρὸ τῆς τῶν οἴκων εὑρέσεως ἐν τοῖς κοιλώμασι τῶν δρυῶν λέγεται καταδύοντας οἰκεῖν. καὶ τὸ καθ’ ὕδατος δύεσθαι καὶ κρύπτειν ἑαυτόν. δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδάνιπτρα · Ἀριστοφάνης (Ar.

delta 8* Byz. p. 236 fr. 1 N. cf. FCG. II 1188 M. = fr. 914 K.). ἐπὶ τῶν ἁρμοδίως τοῖς πράγμασι κεχρημένων. δεύτερος πλοῦς · ὅτε ‘ἀποτυχών τις οὐρίου κώπαις πλέει‘ (cf.

delta 9 Men. fr. 205 Kö.). δημιουργοί · οἱ δημοσίᾳ ἐργαζόμενοι ἀρχιτέκτονες καὶ ἅπαξ πάντες οἱ χειροτέχναι, οἳ γεωργοὺς καὶ τοὺς ἐν τῇ πόλει ὠφέλουν.

delta 10 καὶ αἱ 〈ἐν〉 τοῖς γάμοις τὰ σύμφορα πράττουσαι, αἳ καὶ 〈τὰσ〉 νύμφας ἔλουον καὶ 〈τὰσ〉 ἱερουργίας ἐν γάμοις ἐποίουν καὶ πόπανα παντοδαπὰ καὶ ἄρτους ἔπεττον καὶ τὰς κόμας εὐθέτιζον. διάλαυρος οἰκία · περιάμφοδος.

delta 12 διαπηνηκίσαι · διακεφαλαιῶσαι καὶ ἀπατῆσαι. Κρατῖνος (II 184 M. = fr. 282 K.)· ‘τοῦτον μὲν καλῶς διεπηνήκισας λόγον‘. πηνήκην γὰρ οἱ ἀρχαῖοι Ἀττικοὶ τὴν ἐκ τῶν τριχῶν περιθετὴν κόμην, χρηστὴν οὐ μόνον γυναιξίν, ἀλλὰ καὶ γυναικιζομένοις ἀνδράσιν, οἳ τριχῶν ἐψίλωνται, ὡς φενάκην, ἢ τοὺς ὁρῶντας ἀπατᾷ. καὶ τὸ φενακίσαι τινὲς ἀπὸ τούτου εἰρῆσθαι λέγουσιν. διαρρικνοῦσθαι · τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν.

delta 13 Κρατῖνος Τροφωνίῳ (II 142 M. = fr. 219 K.)· ‘ξίφιζε καὶ σπόδιζε καὶ διαρρικνοῦ‘. Διομήδειος ἀνάγκη · παροιμία ἀπὸ τοῦ Τυδέως ἢ ἀπὸ τοῦ Θρᾳκός, ὃς ἠνάγκαζε τοὺς ξένους αἰσχραῖς οὔσαις ταῖς αὑτοῦ θυγατράσι μ 〈ε〉 ίγνυσθαι, ἃς καὶ ἵππους ὁ λόγος ἀλληγορεῖ, εἶτα ἀνῄρει.

delta 14 οἱ δὲ ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ παλλάδιον κλέψαντες νυκτὸς ἐκ Τροίας ἐπανήεσαν, ἑπόμενος δὲ ὁ Ὀδυσσεὺς τὸν Διομήδην ἐβουλήθη ἀποκτεῖναι. ἐν τῇ σελήνῃ δὲ ἰδὼν τὴν σκιὰν τοῦ ξίφους ὁ Διομήδης, ἐπιστραφεὶς καὶ βιασάμενος τὸν Ὀδυσσέα ἔδησε καὶ προάγειν ἐποίησε παίων αὐτοῦ τῷ ξίφει τὸ μετάφρενον. τάττεται δὲ ἐπὶ τῶν κατ’ ἀνάγκην τι πραττόντων. δίοποι · οἱ βασιλεῖς καὶ οἱ διέποντες.

delta 16 Διὸς ἐγκέφαλος · κάλλιστόν τι βρῶμα. Διὸς Κόρινθος · ἐπὶ τῶν πάλαι μὲν εὐπραγησάντων, ὕστερον δ’ οὐ καλῶς ἀπαλλαξάντων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

delta 17 ἐρρέθη δὲ δι’ αἰτίαν τοιαύτην· Μεγαρεῖς ὑπακούοντες Κορινθίοις ἐβαροῦντο τοῖς ἐπιτάγμασι καὶ φανεροὶ δυσανασχετοῦντες ἦσαν ἐπὶ τούτῳ. Κορινθίων δὲ πρέσβεις ἦλθον εἰς τὰ Μέγαρα καὶ τοῦ δήμου μὴ προσέχοντος αὐτοῖς ἀγανακτοῦντες ἐβόων· ‘οὐκ ἀνέξεται ταῦτα ὁ Διὸς Κόρινθοσ‘. φασὶν οὖν τοὺς Μεγαρεῖς ἐκβάλλοντας αὐτοὺς παίειν καὶ λέγειν· ‘παῖε τὸν Διὸς Κόρινθον‘. Διὸς κῴδιον · 〈ὅτε〉 θύουσι [τε] τῷ τε Μειλιχίῳ καὶ τῷ Κτησίῳ Διί, τὰ [δὲ] κῴδια τούτων φυλάσσουσι δῖα προσαγορεύοντες.

delta 18 χρῶνται δ’ αὐτοῖς οἵ τε Σκιροφορίων τὴν πομπὴν στέλλοντες καὶ ὁ δᾳδοῦχος ἐν Ἐλευσῖνι, καὶ ἄλλοι τινὲς πρὸς τοὺς καθαρμοὺς ὑποστορνύντες αὐτὰ τοῖς ποσὶ τῶν ἐναγῶν. Διὸς ψῆφος · οὕτω καλεῖται 〈ὁ τόποσ〉, ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίθησαν.

delta 19 Κρατῖνος Ἀρχιλόχοις (II 18 M. = fr. 7 K.)· ‘ἔνθα Διὸς μεγάλου θᾶκοι πεσσοί τε καλοῦνται‘. [ὁ γὰρ τόπος, ἐν ᾧ ἐκρίθησαν, Διὸς ψῆφος καλεῖται] τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων. δίρκοι · οἱ φθεῖρες.

delta 21 διωχὴς δίφρος · 〈ὁ δύο φέρειν δυνάμενοσ〉, ἀπὸ τοῦ δύο ἔχειν, ὃν καὶ δίεδρον ἐκάλουν. δνοπαλίζειν · κεντεῖν, ταράσσειν, ἐκτινάσσειν, σείειν.

delta 22 ἔστι δὲ ὅτε καὶ κτείνειν καὶ πολεμεῖν. δόρυ καὶ κηρύκειον · ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων.

delta 23 οἱ δεκατευθέντες γὰρ εἰς Δελφοὺς ὑπ’ Ἀργείων Γεφυραῖοι λαβόντες χρησμὸν ὡς (cf. app. pr. IV 15; Cerc. fr. 5 D 2 )· ‘ἀνδρὶ Γεφυραίῳ οἶκος φίλος, οἶκος ἄριστος ..‘, εἶτα βουσὶν ἀκολουθοῦντες, ἕως ἂν οὗ ἐκεῖνοι κοπιάσωσιν, ὡς ὁ θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι, πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου ἐπὶ Τάναγραν ὥδευσαν, δόντες μὲν τῷ προηγουμένῳ κηρύκειον ὡς ἐπὶ πρεσβείᾳ καὶ εἰρήνῃ, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους. δορύξενος · ὁ ἐκ τῶν πολεμίων φίλος καὶ ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖέν τινες.

delta 25 Δούλων πόλις · [παροιμία] ἐν Λιβύῃ, Ἔφορος πέμπτῃ (FG Hist 70, 50). καὶ ἑτέρα ἱεροδούλων, ἐν ᾗ εἷς ἐλεύθερός ἐστιν. ἔστι δὲ καὶ ἐν Κρήτῃ Δουλόπολις, ὡς Σωσικράτης ἐν τῇ πρώτῃ τῶν Κρητικῶν (FHG. IV p. 500, fr. 3). ἔστι δέ τις καὶ περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασι (i. e. Artemidorus) συνοικίσαι τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα, συκοφάντας, ψευδομάρτυρας καὶ τοὺς συνηγόρους καὶ τοὺς ἄλλους πονηροὺς ὡς δισχιλίους, ὡς Θεόπομπος ἐν ιγ′ τῶν Φιλιππικῶν φησιν (FG Hist 115, 110). δόχμη · τὸ τετραδάκτυλον.

delta 26 Κύπριοι δὲ τὴν παλαιστήν. ἴσως διὰ τὸ πλαγιάζειν τῇ χειρὶ ἐν τῷ μετρεῖν. δόχμιον γὰρ τὸ πλάγιον. Δρυαχαρνεῦ (com.

delta 27 fr. ad. 75 K.)· δρύινε Ἀχαρνεῦ, ἀναίσθητε. ἐκωμῳδοῦντο γὰρ οἱ Ἀχαρνεῖς ὡς ἄγριοι καὶ σκληροί, Ποτάμιοι δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράφους, Θυμαιτάδαι καὶ Προσπάλτιοι ὡς δικανικοί. δυσπέμφελος · δυσάρεστος, δυσπειθής, δυσκίνητος, χαλεπός, μεμψίμοιρος, οὕτως Ἡσίοδος (opp.

delta 28 618; 722). δωδεκίδες · θυσίαι δώδεκα ἱερείων, ὡς τριττὺς ἡ ἐκ τριῶν.

delta 29 λέγεται δὲ καὶ δωδεκαῒς καὶ διὰ τοῦ η δωδεκηΐς. Δωδωνεῖον χαλκεῖον · ἐπὶ τῶν μακρολογούντων.

delta 30 Δήμων γάρ φησιν (FHG. I 382 fr. 18), ὅτι τὸ τοῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησιν ἐν κύκλῳ περιείληπται, τούτους δὲ ψαύειν ἀλλήλους καὶ κρουσθέντος τοῦ ἑνὸς ἠχεῖν ἐκ διαδοχῆς πάντας ὡς διὰ πολλοῦ χρόνου γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. Ἀριστείδης δὲ ὡς πλάσμα διελέγχων δύο φησὶ (FHG. IV 326 fr. 30) στύλους εἶναι καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα ἑστάναι, ἐπὶ θατέρου δὲ παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας σειομένους ὑπ’

ἀνέμου τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον ἠχεῖν. κέχρηται τῇ παροιμίᾳ Μένανδρος ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι (fr. 60, 3 Kö.). δῶρα θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας (par.

delta 31 ed. Gfd. 34 n. 330)· οἱ μὲν Ἡσιόδειον (fr. 272 Rz. 2 ) οἴονται τὸν στίχον, εἴρηται δὲ καὶ Πλάτωνος ἐν τρίτῃ Πολιτεία 〈σ〉 (390e). δωριάζειν · παραγυμνοῦσθαι.

delta 32 Δωρικὸν γάρ ἐστι τὸ παραφαίνειν τὸ σῶμα διὰ τὸ μηδὲ ζώνας ἔχειν 〈αὐτούσ〉 , τὸ πολὺ δὲ χιτῶνας φορεῖν, ἐν δὲ Σπάρτῃ καὶ τὰς κόρας γυμνὰς φαίνεσθαι. ἔα καὶ ἐν συναιρέσει ἦ· Ἴωνες δὲ ἐπεκτείνοντες ‘ἦα‘ φασίν.

epsilon 2 ἑανός · γυναικεία ἐσθὴς ποδήρης. ἐγγύη · γάμου ἀπογραφή.

epsilon 4 ἔγκαφος · ὁ ψωμὸς ἀπὸ τοῦ ἐγκάψαι. τὸ ἐλάχιστον ὡς Εὔπολις (II 565 M. = fr. 330 K.)· ‘οὐ γὰρ λέλειπται τῶν ἐμῶν οὐδ’ ἔγκαφοσ‘. ἐγκεντρίδας (Pher.

epsilon 5 II 272 M. = fr. 48 K.) τοῖς ποσὶ κατὰ τὰς πτέρνας οἱ ἱππεύοντες περιεδοῦντο, οἷς ἐλαύνονται οἱ ἵπποι. ἐγ κοτύλῃ · παιδιά τις, ἐν ᾗ διαπλέξας τις ὀπίσω τοὺς δακτύλους τῶν χειρῶν ἐπενωτίζετο τὸν ἀναιρούμενον· ὁ δ’ ἐνθεὶς τὸ γόνυ ταῖς χερσὶ καὶ περιλαβὼν τοῦ αἴροντος τὴν κεφαλὴν ἢ τὸν τράχηλον ἐβαστάζετο.

epsilon 6 ἐκλήθη δὲ ἐγ κοτύλῃ, ἐπεὶ τὸ κοῖλον τῆς χειρὸς κοτύλη λέγεται, εἰς ὃ [κοῖλον] ἐνετίθει τὸ γόνυ ὁ βασταζόμενος. ἔγκυκλον · περιπόρφυρον ἱμάτιον καὶ χιτὼν γυναικεῖος, ὃν ἔνδοθεν ἐνδύονται γυναῖκες, εἶτα τὸ ἔνδυμα.

epsilon 7 λέγεται δὲ ὑπ’ ἐνίων ἐπιγονατίς, διότι μέχρι γονάτων διήκει. ἐγχυτρίστριαι · αἱ τὰς χοὰς τοῖς τετελευτηκόσιν ἐπιφέρουσαι· 〈Πλάτων〉 Μίνωι ἢ Περὶ νόμου (315c).

epsilon 8 ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι, ὡς Ἀριστοφάνης (II 1212 M. = fr. 793 K.). λέγονται δὲ καὶ ὅσαι τοὺς ἐναγεῖς καθαίρουσιν αἷμα ἐπιχέουσαι τοῦ ἱερείου, ἔτι δὲ καὶ αἱ θρηνήτριαι καὶ δὴ καὶ αἱ μαῖαι αἱ ἐκτιθεῖσαι ἐν χύτραις τὰ βρέφη. ἐδέατρος · ὁ ἐπὶ τῶν ἐδωδίμων καὶ τῆς τοιαύτης παρασκευῆς.

epsilon 10 ἕδος · τὸ ἄγαλμα καὶ ὁ τόπος, ἐν ᾧ ἵδρυται. ἐθνῖται · οἱ ἐκ τοῦ αὐτοῦ ἔθνους.

epsilon 12 εἰδύοι · μάρτυρες. εἰθύφαλλος · αἰδοῖον καὶ ὁ πρόχειρος εἰς συνουσίαν καὶ ᾠδὴ ὑπόκενος.

epsilon 14* Εἰλείθυιαι · αἱ ἐπὶ τῶν τικτουσῶν θεαί, ὧν τὸ ἱερὸν Εἰλείθυιον. εἴλλειν · στρεβλοῦν, πιέζειν, μάλιστα δὲ ἐπὶ ὑγρῶν οἰκεία ἡ λέξις, οἷον σταφυλῶν ἢ ἐλαιῶν· καὶ εἰλεῖν τὸ συνάγειν εἰς ταὐτὸ σταφυλάς.

epsilon 16* Εἵλωτες · παρὰ Λακεδαιμονίοις οἱ νόθοι καὶ οἱ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι ἀπὸ τοῦ Ἕλους, ἐπειδὴ ἡττήθησαν πρῶτον ἐν τῷ Ἕλει καὶ ἐδουλώθησαν. Ἕλος δὲ πόλις ἐν Πελοποννήσῳ. καὶ εἱλωτεία ἡ δουλεία. 〈τὸ δὲ〉 θηλυκὸν Εἱλωτίδες. εἰρεσιώνη · θαλλὸς ἐλαίας ἐστεμμένος ἐρίοις, προσκρεμαμένους ἔχων παντοδαποὺς τῶν ἐκ γῆς καρπῶν.

epsilon 17 τοῦτον δὲ ἐκφέρει παῖς ἀμφιθαλὴς καὶ τίθησι πρὸ 〈τῶν〉 θυρῶν τοῦ Ἀπόλλωνος ἱεροῦ τοῖς Πυανεψίοις. λέγεται γὰρ Θησέα, καθ’ ὃν καιρὸν εἰς Κρήτην ἔπλει, προσσχόντα Δήλῳ διὰ χειμῶνα εὔξασθαι τῷ Ἀπόλλωνι, καταστέψεσθαι κλάδοις ἐλαίας, ὅταν σωθῇ τὸν Μινώταυρον ἀποκτείνας, καὶ θυσιάσειν. καὶ τὴν ἱκετηρίαν ταύτην καταστέψας ἑψῆσαι λέγεται χύτρας ἀθάρης καὶ ἔτνους καὶ βωμὸν ἱδρύσασθαι. διὸ καὶ Πυανέψια δοκεῖ λέγεσθαι οἷον Κυαμέψια· τὸ γὰρ πρότερον τοὺς κυάμους πυάνους ἐκάλουν. ἦγον δὲ ἔσθ’ ὅτε ταῦτα καὶ ἐπὶ ἀποτροπῇ λιμοῦ. ᾖδον δὲ παῖδες οὕτως (carm. pop. 2 D 2 = Wil., vit. Hom. et Hes. 56 s.)· ‘Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασθαι, καὶ κύλικ’ εὐζώροιο, ὅπως μεθύουσα καθεύδῃ‘. μετὰ δὲ τὴν ἑορτὴν ἔξω αγρων τιθέασι παρ’ αὐτὰς τὰς θύρας. Κράτης δὲ ὁ Ἀθηναῖος ἐν τῷ Περὶ τῶν Ἀθήνησι θυσιῶν 〈λέγει〉 (FHG IV 369 fr. 1) ἀφορίας ποτὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατασχούσης τὴν πόλιν θαλλὸν καταστέψαντας ἐρίοις ἱκετηρίαν ἀναθεῖναι Ἀπόλλωνι. εἰς Κυνόσαργες · εἴρηται ἐπὶ ὕβρει καὶ ἀρᾷ.

epsilon 18 ἔστι δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς νόθους τῶν παίδων ἔταττον. ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ ταχέος. καὶ γὰρ Ἡρακλεῖ θύοντος κύνα λευκὸν ἢ ταχὺν ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία αὐτοῦ καταθεῖναι. καὶ ἐπερωτήσαντας τοὺς θεοὺς λαβεῖν χρησμόν, ἱερὸν Ἡρακλέους ἱδρῦσαι 〈ἐν ἐκείνῳ〉 τῷ τόπῳ. ἐξ οὗ καὶ τοὺς νόθους ἐκεῖ συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν ἴσα θεοῖς ἐτιμᾶτο. εἰς λατομίας · Φιλόξενος ὁ διθυραμβοποιὸς οὐκ ἀνεχόμενος τῶν Διονυσίου τοῦ τυράννου ποιημάτων ὡς φαύλων, ποτὲ πέμψαντος αὐτὸν εἰς λατομίας τοῦ Διονυσίου, τὸ [δὲ] ὕστερον αὐτὸς ἑκὼν ἐξανέστη.

epsilon 19 τοῦ δὲ ἐπερωτωμένου τὴν αἰτίαν τοῦτο εἰπεῖν, ὡς κρεῖττον εἶναι ἐκεῖ διατρίβειν ἢ τῶν ἐκείνου ποιημάτων ἀνέχεσθαι, τοῦτο ἐπειπόντα (cf. app. pr. IV 15; Paus. d 23 c. test.)· ‘ἢ οἶκος φίλος οἶκος ἄριστοσ‘, ἅπερ ἐστὶ τῆς χελώνης. εἰς μελίττας ἐκώμασας · παροιμία ἐπὶ τῶν παρὰ δόξ〈αν ἀθρό〉ως κακουμένων.

epsilon 21* εἰς ὄνου πόκους · ἐπὶ τῶν ἀκερδῶν καὶ ἀλυσιτελῶν. Ἀριστοφάνης 〈δὲ〉 (ran. 186) χωρίον ἐν Ἅιδου διατετύπωκεν ‘Ὄνου πόκασ‘. λέγεται δὲ ἐπὶ τῶν ἀνηνύτων καὶ ἀτελῶν, ὅτι καὶ ὄνος οὔτε κείρεται οὔτε ἐξ αὐτοῦ πόκος γίνεται, ὥσπερ αἱ τοιαῦται (cf. com. fr. ad. 853 K.)· πλίνθον πλύνειν, ἀσκὸν 〈δέρειν, ᾠὸν〉 τίλλειν, χύτραν ποικίλλειν, [εἰς] κόπρον ἀναθυμιᾶν. εἰς τὸ δέον καὶ ἐς τὸ δέον · Περικλῆς δῶρα δοὺς τοῖς πολεμίοις τοῖς περὶ Κλεανδρίδαν, ἵνα μὴ δῃώσωσιν τὴν χώραν, δεκαπέντε τάλαντα ἀνήνεγκε τὸ ἀνάλωμα τοῖς Ἀθηναίοις οὕτω πως ἀπογράψας· ‘εἰς τὸ δέον‘.

epsilon 22 Ἀριστοφάνης Νεφέλαις (859)· ‘ὥσπερ Περικλέης εἰς τὸ δέον ἀπώλεσα‘. καὶ Μένανδρος ἐν Ἐπαγγελλομένῳ (fr. 151 Kö.). μέμνηται δὲ καὶ ἑτέρωθι. ἐκκεχιλωμένη · ἐψυγμένη, ἐξημελημένη, κεχερσωμένη.

epsilon 23 ἐπεὶ ὁ χιλὸς ἐν χέρσῳ φύεται. τοῦτο δέ ἐστι χόρτος. ἐκ κλίμακος · ἐν τοῖς γυμνικοῖς ἀγῶσιν, ὅτε χρονοτριβοῖεν οἱ πύκται, κλῖμαξ εἰσεφέρετο ὥστε διαστάντας καὶ χώραν λαβόντας ἐκείνους μένειν ἐν ταύτῃ ἕνεκεν τοῦ μὴ περιίστασθαι τὰς φερομένας πληγὰς περιτρέχοντας, ἀλλὰ μένοντας ἐπὶ τοῦ αὐτοῦ τῇ ποιᾷ τῶν χειρῶν ἐκτάσει φυλάττεσθαι.

epsilon 25 ἐκολλόπωσε (Achae. fr. 22 N 2 )· κόλλῃ συνήρμοσεν. ἀπὸ γὰρ τοῦ νωτιαίου κόλλοπος τῶν βοῶν ἑψομένου γίνεται κόλλα. ὅθεν καὶ ᾧ ἐπιτείνουσι τὰς χορδάς, κόλλοψ· ἦν γὰρ δερμάτινος. ἐκπηνιεῖται (Ar.

epsilon 26 ran. 578)· ἐξειλήσει εἰς πηνίον. ἐκστέψαι · ποτοῦ ἐκκενῶσαι καὶ τὸ ἀποθέσθαι τι, ἐκ μεταφορᾶς τῶν τὰ στέμματα ἀποτιθεμένων.

epsilon 28 ἐκτιλωμένος · συνήθης. ἐκτορμεῖν · τὸ ἐκ τοῦ καθήκοντος δρόμου ἐκβαίνειν.

epsilon 30 ἐκτρυπῆσαι · τὸ μετὰ βίας ἐξελθεῖν. Ἐλαία · Αἰολὶς πόλις, Ἐλέα δὲ ἐν Ἰταλίᾳ.

epsilon 32 ἐλειός · εἶδος μυῶν. Ἑλένης κρατήρ · διάφορος τὴν κατασκευὴν καὶ πρέπων ἡρωΐδι τοιαύτη.

epsilon 33* παροιμία ** ἐμασχαλίσθη (Aesch.

epsilon 34 Cho. 439)· ἔθος ἦν τοῖς ἀρχαίοις, ὁπότε φονεύσειαν ἐξ ἐπιβουλῆς τινα, τὸ ἔργον ἀφοσιουμένοις ἀκρωτηριάζειν τὸν νεκρὸν καὶ τῶν μορίων ὁρμαθὸν ποιήσαντας κρημνάναι [κατὰ] τοῦ τραχήλου κατὰ τῶν μασχαλῶν διείροντας. ἀφ’ οὗ δὴ καὶ μασχαλίσματα προσηγόρευσαν αὐτά. καὶ Σοφοκλῆς ἐν Τρωίλῳ (fr. 566 N 2 = 623 P.)· ‘πλήρη μασχαλισμάτων‘. εἴρηκε 〈δὲ〉 τὸν μασχαλισμὸν καὶ ἐν Ἠλέκτρᾳ (v. 445). ἔμβαρός εἰμι · νουνεχής, φρόνιμος.

epsilon 35 Μένανδρος Φάσματι (fr. 2; cf. fr. 368 Kö.). ἦν 〈τῶν Ἀθηναίων τις Ἔμβαρος, περὶ οὗ ἱστορεῖται τάδε· ἦν〉 πρότερον ὁ Πειραιεὺς νῆσος, ὅθεν καὶ τοὔνομα εἴληφεν ἀπὸ τοῦ διαπερᾶν. οὗ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄκρα Μούνυχος κατασχὼν Μουνυχίας Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. ἄρκτου δὲ γενομένης ἐν αὐτῷ καὶ ὑπὸ τῶν Ἀθηναίων ἀναιρεθείσης λοιμὸς ἐπεγένετο, οὗ τὴν ἀπαλλαγὴν ὁ θεὸς ἔχρησεν, ἄν τις τὴν θυγατέρα θύσῃ τῇ Ἀρτέμιδι. Βάρος δὲ ἢ Ἔμβαρος μόνος ὑποσχόμενος οὕτω ποιήσειν ἐπὶ τῷ τὴν ἱερωσύνην τὸ γένος αὐτοῦ διὰ βίου ἔχειν, διακοσμήσας τὴν θυγατέρα, αὐτὴν μὲν ἀπέκρυψεν ἐν τῷ ἀδύτῳ, αἶγα δὲ ἐσθῆτι κοσμήσας ὡς τὴν θυγατέρα ἔθυσεν. ὅθεν καὶ εἰς παροιμίαν περιέστη· ‘ 〈οὐκ〉 ἔμβαρος εἶ‘ ἐπὶ τῶν παραπαιόντων καὶ μεμηνότων. ἐμμέλεια · ὄρχησις [τις] τραγική.

epsilon 37 ἕνδεκα · ἀρχὴ ἐν Ἀθήναις ἐπιμελουμένη τῶν ἐν τῷ δεσμωτηρίῳ, ἐφ’ ἣν ἀνήγοντο οἱ κλέπται καὶ οἱ ἀνδραποδισταί. ἕνη καὶ νέα · ἡ τριακὰς καλουμένη.

epsilon 38* ἕνον τὸ παλαιὸν καὶ νέον τὸ νέον. ἐνιλλώπτειν · τὸ ὀφθαλμοῖς καταμωκᾶσθαι, καὶ ἰλλώπτειν καὶ ἐπιλλοῦν τὸ μυκτηρίζειν, καὶ κατιλλώπτειν τὸ καταμυκτηρίζειν.

epsilon 40 ἐν Καρὶ τὸν κίνδυνον · ἐπὶ τῶν ἐν εὐτελέσι τὰς πείρας ποιουμένων, ἐπεὶ Κᾶρες πρῶτοι ἐμισθοφόρησαν. ἐν μετοπώρῳ τὰ ἄνθη ** ἐν ὅλμῳ ἐκοιμήσω · [ἤγουν] μαντικὸς ἐγένου.

epsilon 42 Ἀριστοφάνης γὰρ ὁ γραμματικός φησιν (p. 239 fr. 8 N.), ὡς οἱ ἐν ὅλμῳ κοιμώμενοι μαντικοὶ γίνονται. ἔνρινον καὶ ἔρρινον · ἄρωμα, ᾧ τὰς ῥῖνας ἐνεχρίοντο.

epsilon 44* ἐξούλης δίκη · οἱ δίκην νικήσαντες ὥστε ἀπολαβεῖν χωρίον ἢ οἰκίαν, ἔπειτα ἐμβατεύειν κωλυόμενοι ἢ ἐμβατεύσαντες ἐξελαυνόμενοι δίκην εἰσάγουσι πρὸς τοὺς ἐξελαύνοντας ἢ οὐκ ἐῶντας ἐμβατεύειν. καὶ αὕτη ἡ δίκη ἐξούλης καλεῖται ἀπὸ τοῦ ἐξίλλειν. οἱ παλαιοὶ γὰρ τὸ κωλύειν καὶ ἀπελαύνειν ἐξίλλειν ἔλεγον. ἔξω Γλαῦκε · χειμῶνα γὰρ σημαίνει ὁ θαλάττιος.

epsilon 46 ἐξωμίς · χιτὼν ἅμα τε καὶ ἱμάτιον· ἦν γὰρ ἑτερομάσχαλος καὶ ἀναβολὴν εἶχεν, ἣν ἀνεδοῦντο [κοσύμβην]· διόπερ καὶ οἱ κωμικοὶ (IV 636 M. = fr. ad. 821 K.) ἐπ’ αὐτῆς ποτὲ μὲν ‘ἔνδυθι‘, ποτὲ δὲ ‘ἀναβαλοῦ‘ φασιν. ἦν δὲ τῶν δούλων χιτών—ὁ δὲ ἀμφιμάσχαλος τῶν ἐλευθέρων καὶ ἀστῶν —οὐκ ἐπισκεπάζων τοὺς βραχίονας. οἱ δὲ νεώτεροι καὶ θοιμάτιον ἐξωμίδα τὸ μικρὸν καὶ εὐτελές. ἐπακτρίδες · αἱ ἁλιάδες.

epsilon 47 ἐπακτρεῖς γὰρ οἱ κυνηγοί. ἐπακτροκέλης · πλοῖον λῃστρικὸν μεταξὺ ἐπακτρίδος καὶ κέλητος· ἅπερ καὶ αὐτὰ πλοιάριά ἐστιν.

epsilon 49 ἐπαύλια · ἡ δευτέρα τῶν γάμων ἡμέρα οὕτω καλεῖται, καθόσον ἐν τῇ τοῦ νυμφίου οἰκίᾳ ἡ νύμφη τότε 〈τὸ〉 πρῶτον ἐπηύλισται. καλεῖται δ’ ἐπαύλια καὶ τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τῶν γάμων δῶρα παρὰ τοῦ τῆς νύμφης πατρὸς φερόμενα τῷ νυμφίῳ καὶ τῇ νύμφῃ ἐν πομπῆς σχήματι. παῖς γὰρ ἡγεῖται χλανίδα λευκὴν ἔχων καὶ λαμπάδα καιομένην, ἔπειτα μετὰ τοῦτον κανηφόρος, εἶθ’ αἱ λοιπαὶ ἀκολουθοῦσιν ἐφεξῆς φέρουσαι χρυσία, λεκανίδας, σμήγματα, φορεῖα, κτένας, κοίτας, ἀλαβάστρους, σανδάλια, θήκας, μυράλειπτρα· ἐνίοτε δὲ καὶ τὴν προῖκα ἅμα τῷ νυμφίῳ φέρουσιν. ἐπικωπητήρ · ὁ τροπωτὴρ ἱμάς.

epsilon 51 ἐπὶ Λειψυδρίῳ μάχη · χωρίον ὑπὲρ τῆς Πάρνηθος, ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, ὧν οἱ Ἀλκμαιονίδαι προειστήκεσαν. ἐκπολιορκηθέντων δ’ αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον σκόλιον εἰς αὐτοὺς ᾔδετο (scol. an. 24 D. 2 )· ‘αἰαῖ, Λειψύδριον προδωσέταιρον, οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι ἀγαθούς τε καὶ εὐπατρίδας, οἳ τότ’ ἔδειξαν, οἵων πατέρων ἔσαν‘. ἔπιλλος · παράστραβος.

epsilon 53 ἐπὶ Παλλαδίῳ · δικαστήριον Ἀθήνησιν, ἐν ᾧ οἱ ἐφέται ἀκουσίου φόνου ἐδίκαζον. Ἀργεῖοι γὰρ ἀπὸ Ἰλίου πλέοντες, ἡνίκα προσέσχον Φαλήροις, ὑπὸ Ἀθηναίων ἀγνοούμενοι ἀνῃρέθησαν. ὕστερον δὲ Ἀκάμαντος γνωρίσαντος καὶ τοῦ Παλλαδίου εὑρεθέντος κατὰ χρησμὸν αὐτόθι τὸ δικαστήριον ἀπέδειξαν, ὡς Φανόδημος (FHG I 368 fr. 12). Κλεί[τό]δημος δέ φησιν (FHG I 361 fr. 12) Ἀγαμέμνονος σὺν τῷ Παλλαδίῳ προσενεχθέντος Ἀθήναις Δημοφῶντα ἁρπάσαι τὸ Παλλάδιον καὶ πολλοὺς τῶν διωκόντων ἀνελεῖν. τοῦ δὲ Ἀγαμέμνονος δυσχεραίνοντος κρίσιν

ὑποσχεῖν ἐπὶ πεντήκοντα Ἀθηναίων καὶ τοσούτων Ἀργείων, οὓς ἐφέτας κληθῆναι διὰ τὸ παρ' ἀμφοτέρων ἐφεθῆναι αὐτοῖς περὶ τῆς κρίσεως. καὶ τὸ δικαστήριον ἐπώνυμον τοῦ Παλλαδίου γενέσθαι. ἔπιπλα · τὰ μὴ ἔγγεια κτήματα, ἀλλ' ἢ κατ' οἶκον κτῆσις ἢ δυναμένη πλεῦσαι.

epsilon 55 ἐπίστιον · νεώριον, νεώσοικος. ἐπισφελίτης · ὁ θρανίτης.

epsilon 56 σφέλας γὰρ τὸ ὑποπόδιον. ἔχει δὲ οὗτος τὴν ἄνω ἕδραν, τὴν δευτέραν ζύγιος, τὴν τρίτην θαλάμιος. ἐπὶ τὰ Μανδροβόλου · ἐπὶ τῶν εἰς τὰ χείρονα τρεπομένων.

epsilon 57 ἀπὸ Μανδροβόλου τινὸς τὸ ἐν Σάμῳ γεωφάν 〈ε〉 ιον εὑρόντος καὶ πρῶτον μὲν κριὸν χρυσοῦν ἀναθέντος, ἔπειτα ἀργυροῦν, ἔπειτα χαλκοῦν ἐλάττονα, εἶτα οὐκέτι, ὡς Ἔφορος (FG Hist 70, 59b). 〈ἐπὶ τὸν〉 ἔσχατον Μυσῶν πλεῖν · Ἕλλησι λοιμῷ κρατουμένοις ὁ θεὸς ἔχρησεν, ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν.

epsilon 58 οἱ δὲ τὸ μὲν πρῶτον ἠπόρουν. αὖθις δὲ ** τὴν Αἰολίδα παρὰ τοῖς ἐσχάτοις τῆς Μυσίας εὗρον. ἔνιοι τὴν παροιμίαν ἔκ τινος χρησμοῦ λέγουσι Τηλέφῳ μαντευομένῳ γεγονέναι περὶ γονέων, ἐπὶ τίνας τόπους ἐλθὼν εὕροι τοὺς γονεῖς· τὸν δὲ θεὸν προστάξαι, πλεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν. ἀφικόμενον δὲ εἰς Τευθρανίαν—νέμεσθαι γὰρ ταῦτα τὰ χωρία Μυσούς—ἐπιτυχεῖν τῇ μητρί [αὐτοῦ]. τάττεται ἡ παροιμία ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων. ἐποστρακίζειν · παιδιά τις, ἣν παίζουσιν οἱ παῖδες ὄστρακα ἀφιέντες εἰς τὴν θάλασσαν.

epsilon 60* ἐπωβελία · τὸ ἐπιδέκατον. Ἐργάνη · ἡ Ἀθηνᾶ ὡς ἔργοις ἐπιστατοῦσα· αὕτη γὰρ εὗρε τὰς τέχνας.

epsilon 62 ἐρείκη · εἶδος φυτοῦ. ἐρεικτὰ ὄσπρια · τὰ σχιστὰ [ὁπ]οῖον ὁ κύαμος.

epsilon 64 ἐρεικτόν · τὸν δίχα σχιστὸν πυρὸν καὶ μὴ εἰς ἄλευρα ἀληλεσμένον, ἀλλ' ὥστε δύο ἐξ ἑνὸς γεγονέναι. τοῦτο λέγουσιν ἐρεικτόν. Ἐρετριέων ῥῶ · ἐπὶ τῶν κατακόρως τισὶ χρωμένων.

epsilon 65* κατακόρως γὰρ οὗτοι χρῶνται τῷ ρ . ἐρήμη δίκη · ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος ἐπὶ τὴν κρίσιν καταδιαιτηθῇ.

epsilon 66 ὅμοιον καὶ τὸ ἐρήμην ἁλῶναι. ἐρινάζειν · ὀλύνθους περιάπτειν ταῖς ἡμέροις συκαῖς· ἀπὸ [τῶν] ἐρινεῶν τῶν ἀγρίων σύκων, ἐξ ὧν οἱ λεγόμενοι ψῆνες μετεισέρχονται εἰς τὸν τῶν ἡμέρων συκῶν καρπὸν καὶ κρατύνουσιν αὐτὸν ὥστε μὴ ἀπορρυῆναι τοῦ δένδρου.

epsilon 68 ἐρινεός · καὶ ἡ ἀγρία συκῆ καὶ ὁ καρπὸς αὐτῆς, ὥσπερ καὶ ἐλαία τό τε φυτὸν καὶ ὁ καρπός. Ἀριστοτέλης δὲ ἐρινεοὺς μὲν τὸ φυτὸν ἐν τοῖς Περὶ ζῴων (h. an. 557b 25s.), ἐρινεὰ δὲ τὸν καρπόν (ib. 557b 29s., cf. 554a 15). ἕρμαιον · τὸ ἀπροσδόκητον κέρδος, ἀπὸ τῶν ἐν ταῖς ὁδοῖς τιθεμένων ἀπαρχῶν, ἃς οἱ ὁδοιπόροι κατεσθίουσιν· ταύτας δὲ τῷ Ἑρμῇ ἀφιεροῦσιν ὡς ὄντι καὶ τούτῳ ἑνὶ τῶν ἐνοδίων θεῶν.

epsilon 70 Ἑρμῆς στροφαῖος · ὁ παρὰ ταῖς θύραις ἱδρυμένος. ἀπὸ τοῦ στροφέως τῆς θύρας, 〈ἢ〉 καὶ ὁ στρέφων καὶ ἐξαπατῶν οἷον στρόφις. Ἑρμῆς τετρακέφαλος · ἐν Κεραμεικῷ Τελεσαρχίδου ἔργον, ᾧ ἐπεγέγραπτο (Inscr.

epsilon 71 Gr. Metr. n. 188 Preg.)· "Ἑρμῆ τετρακέφ α λε, καλὸν Τελεσαρχίδου ἔργον, πάνθ' ὁρᾷς ...' ἡ δὲ τετρὰς ἱερὰ τοῦ θεοῦ. Ἑρμοκοπίδαι · οἱ τῶν Ἑρμῶν τοὺς τραχήλους καὶ τὰ αἰδοῖα ἀποκόψαντες· φασὶ δὲ Ἀλκιβιάδην συμπράττοντα Κορινθίοις τοῦτο πρᾶξαι.

epsilon 73 Ἑρμώνειος χάρις · ἡ κατ' ἀνάγκην διδομένη, οὐκ ἐκ διαθέσεως ψυχῆς, ἀλλ' ἐπιπλάστως καὶ κατὰ προσποίησιν φιλίας, οὐ κατ' ἀλήθειαν. ὁ γὰρ Ἕρμων ὁ Πελασγῶν βασιλεύς, Δαρείου ἐπὶ Θρᾴκην ἰόντος καὶ πάντα χειρουμένου, παρεχώρησεν Ἀθηναίοις τῆς Λήμνου τῷ μὲν δοκεῖν χαριζόμενος, τῇ δὲ ἀληθείᾳ Δαρεῖον φοβηθείς. ἐρυσίβη · θηρίδιόν τι ἐν τῷ σίτῳ γινόμενον, ὃ λυμαίνεται τὸν καρπόν· τινὲς δὲ νόσον ἐκ τοῦ περιέχοντος 〈ἀέροσ〉 ἐπιγινομένην τοῖς σπέρμασιν.

epsilon 75

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρύσιμος · λάχανον θερμαντικόν, οὗ τὸ σπέρμα τρίβουσαι πίνουσιν αἱ κύουσαι γυναῖκες. Ἑστίᾳ θύομεν · ἀφ’ ὧν οὐκ ἔξεστι μεταδοῦναι οὐδὲ ἐξενεγκεῖν.

epsilon 77 ἔστωρ · σφήν, ἔμβολος, γόμφος ἢ πρῶτος τύλος τοῦ ῥυμοῦ ἢ κοίλωμα ζυγοῦ, ὑφ’ ὃ ὁ τράχηλος τῶν ἵππων ὑποτίθεται. ἑτερομάσχαλος · χιτὼν δουλικός, ἣν ἐξωμίδα λέγουσιν.

epsilon 79 εὐγενέστερος Κόδρου · τοῦ υἱοῦ Μελάνθου τοῦ Μεσσηνίου, πατρὸς δὲ Μέδοντος καὶ Νείλεω. οὗτος ὁ Κόδρος Δωριέων ἐπιστρατευσάντων Ἀθηναίοις, ἐπεὶ τοὺς ἐκ Πελοποννήσου φυγάδας προσεδέξαντο, ἐν οἷς καὶ Μέλανθον, χρησμοῦ δὲ αὐτοῖς δοθέντος αἱρήσειν τὴν πόλιν, ἐὰν ἀπόσχωνται τοῦ τῶν πολεμίων βασιλέως, νοήσας τὸν χρησμὸν, ἀναλαβὼν ὑλοτόμου ἐσθῆτα καὶ ἐντυχὼν τοῖς φύλαξι τῶν Δωριέων ἕνα ἐξ αὐτῶν ἀνεῖλε. διοργισθέντες δὲ οἱ λοιποὶ συλλαβόντες αὐτὸν ἀνεῖλον, ὡς Δήμων (FHG. I 383 fr. 21). εὕδοντι κύρτος αἱρεῖ · παροιμία· καθεύδουσι γὰρ καθέντες τοὺς κύρτους.

epsilon 80 παρὰ τοῦτο ἐποίησε Κρατῖνος Ἀρχιλόχοις (II 22 M. = fr. 4 K.)· ‘εὕδοντι πρωκτὸς αἱρεῖ‘. εὐήτριον · ἱμάτιον εὐυφὲς ἢ τὸ ὁμαλὸν ὕφασμα.

epsilon 82 Εὔνοστος · θεὸς ἐπιμύλιος, ἡ δοκοῦσα ἐφορᾶν τὸ μέτρον τῶν ἀλεύρων. Εὐρύβατος πονηρός · παροιμία ἐπὶ τῶν πονηρῶν ἀπὸ τοῦ πεμφθέντος εἰς Πελοπόννησον ὑπὸ Κροίσου μετὰ χρημάτων ἐπὶ ξενολογίᾳ, ὥς φησιν Ἔφορος (FG Hist 70, 58c), εἶτα μεταβαλλομένου πρὸς Κῦρον τὸν τοῦ Κροίσου ἐχθρὸν καὶ προδεδωκότος τά τε ἀπόρρητα καὶ τὰς Σάρδεις.

epsilon 83 ἦν δὲ οὗτος Ἐφέσιος. οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον. Διότιμος Ἡρακλέους ἄθλοις· (EGF. p. 213 fr. 2 Ki.)· ‘Κέρκωπες, τοὶ πολλὰ κατὰ τριόδους πατέοντες Βοιωτῶν σίνοντο· γένος δ’ ἔσαν Οἰχαλ 〈ι〉 ῆες, Ὦλός τ’ Εὐρύβατός τε, δύω βαρυδαίμονες ἄνδρεσ‘. Νίκανδρος (fr. 112 Schn.)· ‘ἀγίνευν 〈Ὦλον τ’〉 Εὐρύβατόν 〈τε〉 πανουργότατον ...‘ οὗ μνημονεύει Ἀριστοτέλης ἐν α′ Περὶ δικαιοσύνης (fr. 84 R.). Δοῦρις δὲ ἐν δ′ Τῶν περὶ Ἀγαθοκλέα (FG Hist 76, 20) ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου. καὶ Ἀριστοφάνης Δαιδάλῳ ὑποθέμενος τὸν Δία εἰς πολλὰ ἑαυτὸν μεταβάλλοντα καὶ πλουτοῦντα καὶ πανουργοῦντα (II 1015 M. = fr. 184 K.)· ‘εἰ δή τις ὑμῶν εἶδεν Εὐρύβατον Δία‘. οἱ δὲ ὅτι πλείονες ἐγένοντο 〈Εὐρύβατοι〉 καθὰ ** ‘ἠδ’ ὅσσα προτέροισιν ἀείδεται Εὐρυβάτοισιν‘, πάντες δὲ πανοῦργοι ἀπέβησαν. —ἦν δὲ καὶ κλέπτης Εὐρύβατος· καθειρχθεὶς δὲ πολλάκις καὶ διαδράς, εἶτα πάλιν ἁλοὺς καὶ παραφυλαττόμενος, ἐπειδὴ συμπίνοντες ἔλυσαν αὐτὸν οἱ φυλάττοντες 〈καὶ〉 ἐκέλευσαν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς οἴκους ἀναρρίχησιν, τὸ μὲν πρῶτον διωθεῖτο. δεομένων δὲ ὡς οὐ βουλομένου, ἐπεὶ μόλις ἀνέπεισαν, τὰς ἐγκεντρίδας ὑποδησάμενος καὶ σπόγγους λαβὼν ἀνερριχήσατο διὰ τοῦ τείχους τῆς εἱρκτῆς. ἀναβλεπόντων δὲ ἐκείνων καὶ θαυμαζόντων τὰς τέχνας λαβὼν τὸν ὄροφον καὶ ὑπερβάλλων κατεπήδησεν ἔξω καὶ ᾤχετο, ἐν ὅσῳ οἱ φύλακες περιῄεσαν, ὅπως ἴδοιεν αὐτὸν κατιόντα. εὔστρα · ἔδεσμα ἐκ σταχύων καυθέντων τοὺς ἀνθέρικας ἀποβαλόντων ἤτοι ὁ περικεκαυμένος στάχυς.

epsilon 85 Ἐφέσια γράμματα (cf. Anaxilarn III 345 M. = fr. 18 K.)· φωναὶ φυσικὸν ἐμπεριέχουσα 〈ι〉 νοῦν ἀλεξίκακον, ἃς καὶ Κροῖσος ἐπὶ πυρᾶς εἶπεν. [καὶ] ἀσαφῶς 〈δὲ〉 καὶ αἰνιγματωδῶς δοκεῖ ἐπὶ ποδῶν καὶ ζώνης καὶ στεφάνης ἐπιγεγράφθαι τῆς Ἀρτέμιδος τὰ τοιαῦτα γράμματα. καὶ παροιμία τὸ ‘Ἐφέσια γράμματα‘ ἐπὶ τῶν ἀσαφῆ τινα λαλούντων καὶ δυσπαρακολούθητα. ἐφετίνδα · παιδιά τις, ὅταν ἄλλῳ προδείξαντες τὴν σφαῖραν ἄλλῳ ἐφῶσιν.

epsilon 87 ἔφυγον κακόν, εὗρον ἄμεινον (carm. pop. 28 D 2 )· 〈παροιμία.〉 νόμος 〈γὰρ〉 Ἀθήνησιν 〈ἐν τοῖς γάμοισ〉 ἀμφιθαλῆ παῖδα ἐστεμμένον ἀκάνθαις μετὰ δρυΐνων καρπῶν, λίκνον βαστάζοντα ἄρτων πλέον, τοῦτο λέγειν αἰνισσόμενον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν. ἐχῖνος τὸν τόκον ἀναβάλλει · λέγεται ἐφ’ ὧν τὸ ἀναβάλλεσθαι πρὸς χεῖρον γίνεται.

epsilon 88 καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον, εἶθ’ ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάσσειν ἐν τῷ τόκῳ. ζβεννυμενάων αἰγῶν (Hes.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

zeta 1 opp. 590)· ληγουσῶν. ζβέσαι · παῦσαι, λῆξαι, κοιμίσαι.

zeta 3 ζεῦγος ἡμιονικὸν ἢ βοεικὸν ζεύξαντες, τὴν λεγομένην κλινίδα, ἥ ἐστιν ὁμοία διέδρῳ, τὴν τῆς νύμφης μέθοδον ποιοῦνται. παραλαβόντες δὲ αὐτὴν ἐκ τῆς πατρῴας ἑστίας ἐπὶ τὴν ἅμαξαν ἄγουσιν εἰς τὰ τοῦ γαμοῦντος ἑσπέρας ἱκνουμένης. κάθηνται δὲ τρεῖς ἐπὶ τῆς ἁμάξης, μέση μὲν ἡ νύμφη, ἑκατέρωθεν δὲ ὅ τε νυμφίος καὶ ὁ πάροχος. οὗτος δέ ἐστι φίλος ἢ συγγενὴς ὁ μάλιστα τιμώμενος καὶ ἀγαπώμενος. ἐπειδὴ δὲ ἡ ἅμαξα ὄχημα ἐλέγετο, ὁ ἐκ τρίτου παροχούμενος πάροχος ἐκλήθη. καὶ ἀπὸ ταύτης τῆς συνηθείας, κἂν πεζοὶ μετίωσί τινες κόρην, ὁ τρίτος συμπαρὼν πάροχος λέγεται. ζμινύη · ὁτὲ τὸ σκαφεῖον, ὁτὲ ἀξινάριον.

zeta 4 οἱ δὲ δίκελλαν. ζμῶδιξ · μώλωψ, τὸ ἐκ πληγῆς οἴδημα παρὰ τὸ ζμῶξαι τὸ πατάξαι.

zeta 6 ζύγαστρον (e. g. Soph. Tr. 692)· ἡ κιβωτός. κυρίως δὲ ἡ ξυλίνη σορὸς παρὰ τὸ ἐζυγῶσθαι· οὕτως Εὐριπίδης (deest N. 2 —Arn.). παρὰ Δελφοῖς δὲ ζύγαστρον καλεῖται τὸ γραμματοφυλάκιον. ζύγιοι · ἐρέται τινὲς οὕτω καλοῦνται.

zeta 8 ζυγός · τοῦ σανδαλίου τὸ συνέχον τοὺς δακτύλους 〈καὶ〉 σταθμός, ὅθεν ἡ παροιμία· ‘ζυγοῦ πρὸς δίκην εὐθέστεροσ‘. ζυγώσω (Aesch.

zeta 9 fr. 115 N 2 )· καθέξω, δαμάσω. ἡγητηρία · παλάθη σύκων, ἣν ἐν τῇ πομπῇ τῶν Πλυντηρίων φέρουσιν, ὅτι ἡμέρου τροφῆς πρώτης ταύτης ἐγεύσαντο.

eta 2 ἡ δὲ αἲξ τὴν μάχαιραν · ἐπὶ τῶν ἑαυτοῖς ἐπιφερόντων κακόν, ἀπὸ Κορινθιακῆς παροιμίας ‘ἡ αἲξ δοῦσα τὴν μάχαιραν‘. οὕτω γὰρ λέγεται· Κορινθίων τῇ Ἥρᾳ Ἀκραίᾳ θυόντων, ἣν λέγεται ἱδρύσασθαι Μήδεια, οἱ τὴν παροχὴν μεμισθωμένοι γῇ κρύψαντες τὴν μάχαιραν ἐσκήπτοντο ἐπιλελῆσθαι· ἡ δὲ αἴξ αὐτὴν τοῖς ποσὶν ἀνεσκάλευσεν. ἢ δεῖ χελώνης κρέα φαγεῖν ἢ μὴ φαγεῖν · τῆς χελώνης ὀλίγα κρέα βρωθέντα στρόφους ποιεῖ, πολλὰ δὲ καθαίρει· ὅθεν τὴν παροιμίαν εἰρῆσθαι Δήμων (FHG.

eta 3 I 381 fr. 16). ἕτεροι δὲ ἐπὶ τῶν ἀποδύντων μὲν 〈πρὸσ〉 τὸ πρᾶγμα, στραγγευομένων δέ. φασὶ δὲ (i. e. Clearchus fr. 78 We.) αὐτὴν Τερψίωνος εἶναι. ἦδος · τὸ ὄφελος καὶ τὸ ὄξος.

eta 5 ἠκέστας βόας (cf. Z 94)· φορβάδας, ἀδαμάστους, νομάδας. ἡ κύων ἐπὶ τῆς φάτνης (com.

eta 6 fr. ad. 719 K.)· παροιμία ἐπὶ τῶν μήτε χρωμένων μήτε ἄλλοις μεταδιδόντων. ἠλακατῆνες · ἰχθύες θαλάσσιοι κωβιώδεις ταριχευόμενοι.

eta 8* ἤλεκτρον · ἀλλότυπον χρυσίον μεμ〈ε〉ιγμένον ὑέλῳ καὶ λιθείᾳ. ἥλῳ τὸν ἧλον ἐκκρούεις (com.

eta 9 fr. ad. 494 K.)· ἀντὶ τοῦ ἁμαρτήματι τὸ ἁμάρτημα σπεύδεις ἐξελάσαι. ἠμὲν κλέος ἠδὲ καὶ ἦσθα · παροιμία ἐπὶ τῶν ὁμοίων τῇ περὶ αὐτῶν φήμῃ.

eta 11* ἡμένη πελειάς · παροιμία ἐπὶ τῶν ἁπλουστάτων καὶ ἀκακοήθων ταττομένη, κατ’ ἀντεξέτασιν τῶν παλευτριῶν, αἳ ἐξιπτάμεναι ἄλλας προσάγουσιν. ἡμερωρεῖν · ἡμεροφυλακεῖν.

eta 13 ἡμίεκτον · τὸ δωδέκατον μέρος τοῦ μεδίμνου. ἔστι γάρ τι μέτρον ἑκτεύς, ὅπερ ἐστὶ τὸ ἕκτον μέρος τοῦ μεδίμνου ἔχοντος χοίνικας τεσσαράκοντα ὀκτὼ ὥστε εἶναι τὸν ἑκτέα ὀκτὼ χοινίκων. ἡμιωβολιαῖον · τὸ τιμώμενον ἡμίσεος ὀβολοῦ.

eta 15 Ἡράκλεια λουτρά · 〈θερμὰ λουτρὰ, ἃ〉 τὴν Ἀθηνᾶν 〈φασιν〉 ἐν Θερμοπύλαις καμόντι Ἡρακλεῖ ἀνεῖναι, οἱ δὲ ἐν Σικελίᾳ τὰς νύμφας, οἱ δὲ αὐτὸν αὐτὰ κατασκευάσαι. Ἡρακλείαν λίθον · τινὲς (e.

eta 16 g. Ael. D. gl. η 15) τὴν Μαγνῆτιν ἀπέδοσαν διὰ τὰ καὶ Ἡράκλειαν τὴν Μαγνησίαν 〈καλεῖσθαι〉. ἔνιοι δὲ ὅτι ἡ μὲν ἐπισπωμένη τὸν σίδηρον Ἡρακλεῶτις (cf. Ael. D. l. l.), ἡ δὲ Μαγνῆτις ἀργύρῳ ὁμοία ἐστίν, ὡς Εὐριπίδης ἐν Οἰνεῖ (fr. 567 N 2 )· ‘〈ἄργυρος δὲ〉 τὰς βροτῶν γνώμας σκοπῶν ὥστε Μαγνῆτις λίθος τὴν δόξαν ἕλκει καὶ μεθίστησιν πάλιν‘. οὐ λέγει νῦν ὑπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς Μαγνήτιδος λίθου τὸν σίδηρον, ἀλλὰ τὴν τῶν θεωμένων δόκησιν ἕλκεσθαι πλανωμένων ὡς ἐπὶ ἀργύρῳ. Ἡρακλείδην · τὸν Ἡρακλέα οὕτως ἔλεγον.

eta 18 Ἥρυλλος · ὁ Ἡρακλῆς ὑποκοριστικῶς ἐν τοῖς σατυρικοῖς (TGF. fr. ad. 590 N 2 ). ἦσάν ποτ’ ἦσαν ἄλκιμοι Μιλήσιοι (cf.

eta 19 Anacr. 86 D 2 )· παροιμία ἀπὸ χρησμοῦ ἐπὶ τῶν προγεγονότων. ἤτριον · ἔνδυμα ὑμενῶδες.

eta 21 ἡ Φανίου θύρα · τὸν Φάνιόν φησι Δήμων (FHG. I 379 fr. 8) ὀβολοστάτην εἶναι, ἄλλως δὲ τυφλόν. ὑπανοιγομένης δὲ αὐτῷ τῆς τοῦ ταμιείου θύρας κατασκευάσαι 〈αὐτὸν〉 τοιαύτην, ἣν οὐκ ἄν τις ἤνοιξε μὴ ψόφον ποιήσας. ** ἐνίους δὲ λέγειν ὡς μοιχευομένης αὐτῷ τῆς γυναικὸς τὴν αὔλειον θύραν εἰργάσατο ὡς μὴ ἄνευ ψόφου ἀνοίγεσθαι. τῆς δὲ κατὰ τοῦ στέγους δεχομένης τὸν μοιχὸν χλευάζοντας τοὺς γείτονας ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν τῷ φυλάττειν ‘τὴν Φανίου θύραν‘ εἶναι λέγειν. θάλασσα κοίλη (IV 628 M.

theta 1 = fr. ad. 864 K.)· τὸ θέατρον. θάτερον καὶ θάτερα λέγεται τὸ τῶν οὐδετέρων ἑνικὸν καὶ πληθυντικόν.

theta 2 Μένανδρος δὲ λέγων (fr. 710 Kö.)· ‘ὁ θάτερος μὲν τοῖν δυοῖν Διοσκόροιν‘ ἐσχάτως βαρβαρίζει. τὸ γὰρ ἀρσενικὸν ἅτερος λέγεται καὶ θατέρου γενικὴ καὶ θατέρῳ δοτικὴ τῶν ἑνικῶν· τὸ δὲ θατέροις σολοικισμός. ἐπὶ δὲ αἰτιατικῆς οὐ κιρνᾶται. τὰ δὲ θηλυκὰ οὕτω συναλείφεται· ἡτέρα καὶ θητέρᾳ, οὔτε δὲ κατὰ γενικὴν οὐδ’ αὐτὰ οὔτε κατὰ αἰτιατικὴν κιρνᾶται. θᾶττον ἢ Βούτης · οἷον κατεσκευάσθη.

theta 3 Νίκων γὰρ ὁ ζωγράφος ὀφθαλμὸν ποιήσας καὶ κράνος περιφαινόμενον ἐπέγραψε Βούτης. Θελγῖνες · γόητες, φαρμακοί.

theta 5 θεμισσέτω · νομοθετείτω, δικαζέτω. θεοὶ Μολοττικοί · οἱ χθόνιοι, ἐπεὶ ψυχοπομπεῖόν ἐστιν ἐν Μολοττοῖς.

theta 7 θεὸς θεός ταῖς ἀρχαῖς ἐπέλεγον ἐπιφημιζόμενοι. θεράπων · δοῦλος ὁπλοφόρος κατὰ Κρῆτας.

theta 9 θεσμοθέται · ἀρχὴ Ἀθήνησιν ἀνδρῶν ἕξ, οἳ τὴν τῶν νόμων ἐπιμέλειαν ἐποιοῦντο καὶ τὰς εἰσαγγελίας εἰσήγγελλον εἰς τὸν δῆμον καὶ τὰς χειροτονίας 〈ἐποιοῦντο〉 καὶ τὰς προβολὰς 〈προὐβάλλοντο〉 ἁπάσας καὶ γραφὰς 〈ἐγράφοντο〉 παρανόμων. καὶ ἦσαν διορθωταὶ τῶν νόμων. Θετταλικὰ πτερά · τοῦτο εἴρηται διὰ τὸ πτέρυγας ἔχειν τὰς Θετταλικὰς χλαμύδας.

theta 10 πτέρυγες δὲ καλοῦνται αἱ ἑκατέρωθεν γωνίαι διὰ τὸ ἐοικέναι πτέρυξιν. Θετταλικὴ ἔνθεσις · ὁ μέγας ψωμός.

theta 12 Θετταλῶν σόφισμα (Eur. Ph. 1407s.)· καὶ ἐπὶ μάχης καὶ ἐπὶ σχήματος καὶ ἐπὶ παρακρούσεως καὶ ἄλλων μυρίων τάττεται ἀπὸ αἰτίας τοιαύτης· Διοτίμῳ κατιόντι ὁ θεὸς ἔχρησε φυλάξασθαι, μὴ λάθωσιν αὐτὸν οἱ ἐξ ἐναντίας εὐχῇ μείζονι καὶ λαμπροτέρᾳ κατ’ αὐτοῦ χρησάμενοι. ὁ δὲ ἑκατόμβην ἀνδρῶν εὔξατο θύσειν τῷ Ἀπόλλωνι, κατορθώσας δὲ ἃ ἐβούλετο, ἀνεβάλλετο ἀεὶ τὴν θυσίαν διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι. ὅθεν ἡ παροιμία ἐπὶ τῶν διατριβόντων τὰς ὑποσχέσεις ἢ καὶ ἄλλως παρακρουόντων. θεῶν ἀγορά · ἐπὶ τῶν τολμώντων τι λέγειν ἐν τοῖς ὑπερέχουσιν.

theta 14* θίς · ὄχθος, βουνός, ἄμμος. θολία · πῖλος εἰς ὀξὺ ἀπολήγων, οἱ δὲ σκιάδιον.

theta 16 θόλοι · στέγαι, ἐπάλξεις, καμάραι. Θρᾶκες ὅρκια οὐκ ἐπίστανται · ταύτης μέμνηται Μένανδρος ἐν τῇ πρώτῃ (Men.

theta 17 Eph. FHG. IV 448, fr. 8). λέγει γάρ, ὅτι ἐν ταύτῃ τῇ γῇ [ὁ] πρεσβεύς τις ἀκοντισθεὶς διὰ τοῦ στήθους ἀπώλετο. καὶ ἐντεῦθεν Ἴωσι καὶ Αἰολεῦσιν αἴνιγμα ἐγένετο· ‘Θρᾷκες ὅρκια οὐκ ἐπίστανται‘. θριπήδεστα · ξυλήφια τὰ ὑπὸ θριπῶν βεβρωμένα, οἷς ἐχρῶντο ἀντὶ σφραγίδων.

theta 19 θύλακος · ὁ ῥαπτὸς φάσκωλος. θύραζε Κᾶρες, οὐκέτ’ Ἀνθεστήρια (IV 676 M.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

theta 20 = fr. ad. 548 K.)· οἱ μὲν διὰ πλῆθος οἰκετῶν Καρικῶν εἰρῆσθαί φασιν ὡς ἐν τοῖς Ἀνθεστηρίοις εὐωχουμένων αὐτῶν καὶ οὐκ ἐργαζομένων. τῆς οὖν ἑορτῆς τελεσθείσης λέγειν ἐπὶ τὰ ἔργα ἐκπέμποντας αὐτούς· ‘θύραζε Κᾶρες, οὐκέτ’ Ἀνθεστήρια‘. τινὲς δὲ οὕτω τὴν παροιμίαν φασίν· ‘θύραζε κῆρες, οὐκ ἔνι Ἀνθεστήρια‘ ὡς κατὰ τὴν πόλιν τοῖς Ἀνθεστηρίοις τῶν ψυχῶν περιερχομένων. θύσανοι · Ἀττικῶς, σίλλυβα, κοινῶς δὲ κροσσοί, ἀφ’ ὧν οἱ κροσσωτοί (Araros III 273 M.

theta 21 = fr. 4 K.). ἰδύους · μάρτυρας, συνίστορας.

iota 2* Ἴκκου δεῖπνον · ἐπὶ τῶν ἀπερίττως δειπνούντων. 〈ἀπὸ Ἴκκου〉 σοφοῦ ἰατροῦ Ῥηγίνου διὰ τὸ εὐτελὲς τῆς ἐκείνου ζωῆς. ἴκρια · [τὰ ἐν τῇ ἀγορᾷ] ἀφ’ ὧν ἐθεῶντο τοὺς Διονυσιακοὺς ἀγῶνας πρὶν ἢ κατασκευασθῆναι τὸ ἐν Διονύσου θέατρον.

iota 4 Ἱλάων · Ποσειδῶνος υἱός, 〈ἥρωσ〉 ὑπερφυής, οὐκ εὐπρόσιτος. Ἰλιὰς κακῶν (com.

iota 5 fr. ad. 753 K.)· ἀπὸ παροιμίας τοῦτο ἐλέγετο ἐπὶ τῶν μεγάλων κακῶν. ἰλλάδας γονάς (Soph.

iota 6* fr. 67 N 2 = 70 P.; Eur. fr. 837 N 2 )· ἀγελαίας κατὰ συστροφάς· ἰλλάδες δὲ κατ’ Ἴωνας δεσμοὶ ἐξ ἱμάντων ἢ λύγων (N 572). ἴξαλος · προπηδῶν καὶ τέλειος.

iota 8 ἵππος Νησαῖος · μεταξὺ τῆς Σουσιανῆς καὶ τῆς Βακτριανῆς τόπος ἐστὶ Καταστιγώνα, ὅπερ Ἑλλάδι γλώσσῃ Νῆσος καλεῖται· ἐνταῦθα ἵπποι διάφοροι γίνονται. οἱ δὲ ἀπὸ Ἐρυθρᾶς θαλάσσης· εἶναι δὲ ξανθὰς πάσας. ὁ δὲ Ἡρόδοτος (III 106, 2) τῆς Μηδίας εἶναι τὸν τόπον Νησαῖον. ὁ δὲ Πολέμων (fr. 98 Prell.) κακῶς φησι λευκὸν ἵππον Νησαῖον. ἐν δὲ Δικτύῳ Ὀρφεὺς λέγει (fr. 289 Kern) [ὅτι ἡ Νίσα τόπος ἐστὶν ἐν Ἐρυθρᾷ κείμενος]. ἰχθυόκεντρον · τρίαινα, ᾗ ἐπὶ μεγάλων ἰχθύων χρῶνται.

kappa 1 Καδμεία νίκη · παροιμία [λέγεται] ἐπὶ τῶν ἐπὶ κακῷ νικώντων. οἱ μὲν λέγουσιν, ὅτι Θηβαῖοι νικήσαντες ὕστερον ὑπὸ τῶν ἐπιγόνων ἡττήθησαν· οἱ δὲ ὅτι Οἰδίπους Θήβησι τὸ τῆς Σφιγγὸς αἴνιγμα λύσας ἔπαθλον τὴν μητέρα ἔγημεν. τίθεται καὶ ἐπὶ τῶν ἀλυσιτελῶν, ὡς καὶ Λύκος ὁ τὰ Περὶ Θηβῶν συντάξας 〈φησίν〉 (FHG IV 657, fr. 14d), ὅτι Κάδμος ἀνελὼν τὸν τὴν Ἀρείαν κρήνην τηροῦντα δράκοντα ἐθήτευσεν Ἄρει ὀκτὼ ἔτη. καὶ τὰ τοῦ λύκου · φασὶ λύκον ἰδόντα τὸν ποιμένα ἢ καὶ κύνα τῶν ποιμενικῶν προβάτων ἐσθίοντα εἰπεῖν· ‘ἐγὼ τοῦτο εἰ ἐποίουν, πόση κραυγὴ ἐγίνετ’ ἄν;‘ καῖρος · σειρά τις ἐν ἱστῷ, δι’ ἧς οἱ στήμονες διείρονται.

kappa 4 κακὴ μὲν ὄψις · κόμμα παροιμίας. ‘κακὴ μὲν ὄψις, ἐν δὲ δειλαῖαι φρένεσ‘ Μένανδρος Σικυωνίῳ (fr. 374 Kö.). καλαμᾶσθαι · τὰ λείψανα τῶν τετρυγημένων συνάγειν.

kappa 6 καλαμίς · χρυσοῦν κοσμάριον, ὃ τοὺς πλοκάμους περιέχει. κάλλαια (Ar.

kappa 7* equ. 497)· οἱ πώγωνες τῶν ἀλεκτρυόνων. κάλλη · ἄνθη, βάμματα.

kappa 9 Καλλικύριοι · οἱ ἀντὶ τῶν Γεωμόρων ἐν Συρακούσαις 〈μέρος καταλαβόντες τοῦ πολιτεύματοσ〉, γενόμενοι πολλοί τινες τὸ πλῆθος. δοῦλοι δ’ ἦσαν οὗτοι τῶν φυγάδων, ὡς Τίμαιος ἐν ἕκτῃ (FHG. I 204, fr. 56)· ὅθεν τοὺς ὑπερβολῇ πολλοὺς Καλλικυρίους ἔλεγον. ὠνομάσθησαν δὲ ἀπὸ τοῦ εἰς ταὐτὸ συνελθεῖν παντοδαποὶ ὄντες, ὡς Ἀριστοτέλης ἐν Συρακουσίων Πολιτείᾳ (fr. 586 R.), ὅμοιοι τοῖς παρὰ Λακεδαιμονίοις Εἵλωσι καὶ παρὰ Θετταλοῖς Πενέσταις καὶ παρὰ Κρησὶ Κλαρώταις. καλλύνειν · κοσμεῖν καὶ σαροῦν.

kappa 11 κάμπιος δρόμος · δρόμοι τινὲς ἦσαν κάμπιοι οὐκ εὐθεῖς καὶ ἁπλοῖ, ἀλλὰ καμπὰς ἔχοντες. κάναστρον · τρύβλιον.

kappa 13 κανθάρου μελάντερος · παροιμία ** Μένανδρος Θησαυρῷ (fr. 202 Kö.). κάρδακες · οἱ στρατιῶται ἐν Ἀσίᾳ· λέγονται δὲ καὶ οἱ φύλακες κάρδακες.

kappa 15 Καρκίνου ποιήματα · Μένανδρος Ψευδηρακλεῖ (fr. 457 Kö.) ἀντὶ τοῦ αἰνιγματώδη. ὁ γὰρ Καρκίνος Ὀρέστην ὑπὸ Ἰλίου ἀναγκαζόμενον ὁμολογῆσαι, ὅτι ἐμητροκτόνησεν, ἐποίησε δι’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰνιγμάτων ἀποκρινόμενον (Carc. p. 798 N 2 ). κατ’ αἶγας ἀγρίας · παροιμία λεγομένη ἐπὶ κατάρας—κατ’ αἶγας ἀγρίας τρέπειν τὰ κακά— 〈ὁμοίως τῇ ‘ἐς κόρακασ‘ (cf.

kappa 16 Paus. φ 5)〉 . κατακαχρύσω · καταφρύξω καὶ συντρίψω· ἀπὸ τῶν καχρύων μετενήνεκται.

kappa 18 κατακορμίσαι · κατακόψαι ξύλον. κάταντα · κατωφερῆ.

kappa 20 〈 κατηδέσθημεν · κατεβρώθημεν〉 . Πλάτων ἐν Ἑορταῖς (II 627 M. = fr. 35 K.)· ‘κατηδέσθημεν ἄν καὶ κατεκόπημεν εὐθύσ‘. κατουλάδα · τὴν κατίλλουσαν καὶ κατείργουσαν, καὶ ἐξούλης δίκη ἡ ἐξείρξεως.

kappa 21 Σοφοκλῆς Ναυπλίῳ (fr. 400 N 2 = 433 P.)· ‘ἐπεύχομαι δὲ νυκτὶ τῇ κατουλάδι‘. οἱ δὲ τῇ πανωλέθρῳ ἐσομένῃ τοῖς Ἕλλησιν. οὖλον γὰρ τὸ ὀλέθριον, καὶ ἡ κατα πρόθεσις αὔξησιν ἔχει. ἢ τὴν ζοφώδη ἀπὸ τῆς κατὰ τὸ σῶμα γινομένης οὔλης 〈τριχόσ〉 , μελαντέρα γὰρ ὡς ἐπὶ πολύ. ἢ τὴν καταιγίδας ἔχουσαν καὶ συστροφὰς ἀνέμων. εἰλεῖν γὰρ τὸ συστρέφειν. Ὅμηρος (Φ 8; saepius). καυσία (cf. [5]

kappa 22 Men. fr. 282 Kö.)· εἶδος πίλου βαρβαρικοῦ ἐπὶ τῆς κεφαλῆς ὡς τιάρα, ὃν οἱ Μακεδονικοὶ βασιλεῖς ἐφόρουν λευκὸν αὐτῷ διάδημα περιειλοῦντες. κελέοντες · οἱ ἱστόποδες καὶ τὰ λεπτὰ καὶ πηνοειδῆ τῶν ξύλων.

kappa 24 κεντρηνεκὴς ἵππος · ὁ εὐπειθὴς κέντροις. Κερκῖται · ἔθνος Ἰνδικόν, ὃ χρῆται μικρῷ πηδαλίῳ τῷ καλουμένῳ κερκέτῃ· 〈οὗτος δὲ〉 μηχάνημα σιδηροῦν, ὃ ἐξαρτᾶται τῆς νεώς, ὅταν ᾖ ἄνεμος, πρὸς τὸ ἀντέχειν 〈ὡς ὁ δελφίσ〉 .

kappa 26 Κέρκωπες · πανοῦργοι, δόλιοι, ἀπατεῶνες, κόλακες, οἳ καθάπερ ἡ ἀλώπηξ τοὺς θηρευτικοὺς κύνας ἀπατᾷ, τοὺς ἁπλουστέρους φενακίζουσι τῇ κέρκῳ τῶν λόγων. φασὶ 〈δὲ〉 τοὺς Κέρκωπας γενέσθαι (E. Gr. Fr. p. 70 Kink. = Hom. V p. 160 All.)· ‘ψεύστας, ἠπεροπῆας, ἀμήχανα τ’ ἔργ‘ ἐάσαντας ἐξαπατητῆρας· πολλὴν δ’ ἐπὶ γαῖαν ἰόντες ἀνθρώπους ἀπάτασκον, ἀλώμενοι ἤματα πάντα‘. κερκώπη · ἐλάχιστον τεττίγιον τὸ καὶ καλαμαῖον. [5]

kappa 28 Κέσκος ἦν πόλις ἐν Κιλικίᾳ καὶ παρ’ αὐτὴν ποταμὸς Νοῦς ὄνομα. διόπερ οἱ κωμικοὶ παίζοντες τοὺς νοῦν οὐκ ἔχοντας Κέσκον φασὶν οἰκεῖν (IV 656 M. = fr. ad. 807 K.). κεστρεῖς νήστεις ἐκάλουν καὶ κεχηνότας καὶ πεινῶντας· λαίμαργοι γὰρ οὗτοι οἱ ἰχθύες.

kappa 29 καὶ ἡ παροιμία ‘κεστρεὺς νηστεύει‘ εἴρηται ἐπὶ τῶν δικαιοπραγούντων μέν, ἧττον δὲ φερομένων διὰ τοῦτο αὐτό. μετενήνεκται δὲ ἀπὸ τοῦ ἰχθύος· οὗτος γὰρ πάντων τῶν 〈ἄλλων〉 ἰχθύων ἀλληλοφαγούντων μόνος ἀπέχεται 〈τῆς σαρκοφαγίασ〉 . νέμεται δὲ ἰλύν, ὡς Ἀριστοτέλης ἐν τοῖς Περὶ ζῴων (591 a 22), καὶ δῆλον ὅτι ταλαιπωρεῖ καταδυόμενος εἰς τὴν ἰλὺν καὶ ἧττόν τι φέρεται. κηρύλοι · οἱ ἄρσενες τῶν ἁλκυόνων, οἳ γηράσαντες ὑπὸ τῶν θηλειῶν βαστάζονται. [5]

kappa 31 Κιλίκων · ἐπώνυμον Ἀχαιοῦ τοῦ Μέροπος ἀπὸ τροφοῦ Κιλίσσης, ὃς τὴν πατρίδα Μίλητον προὔδωκε τοῖς Πριηνεῦσι καὶ τοῖς βασιλέως στρατηγοῖς, ἢ παρόσον Κίλικες διεβέβληντο ἐπὶ πονηρίᾳ καὶ ὠμότητι, διὰ τοῦτο ἐκλήθη Κιλίκων. Φερεκράτης (II 351 M. = fr. 166 K.)· ‘ἀεί ποθ’ ἡμῖν ἐγκιλικίζους’ οἱ θεοί‘. κιχλισμός · ὁ λεπτὸς καὶ ἀκόλαστος γέλως.

kappa 33 Κλαρῶται · μέτοικοι, ὡς Μαριανδυνοὶ ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ καὶ Εἵλωτες ἐν Λακεδαίμονι καὶ ἐν Θετταλίᾳ Πενέσται καὶ Καλλικύριοι ἐν Συρακούσαις. κλεισίαι · αὔλειοι πυλῶνες, πλατεῖαι θύραι, δι’ ὧν καὶ ζεύγη εἰσέρχονται.

kappa 35 κλείσιον · θυρών, ἐν ᾧ καὶ ζεύγη ἵσταται. κοινὰ τὰ τῶν φίλων · Τίμαιός φησιν ἐν τῷ θ′ (FHG I 211, fr.

kappa 36

Eulogikon public reading copy · View original HTML at eulogikon.org

77) ταύτην λεχθῆναι κατὰ τὴν μεγάλην Ἑλλάδα, καθ’ οὓς χρόνους Πυθαγόρας ἀνέπειθε τοὺς ταύτην κατοικοῦντας ἀδιανέμητα κεκτῆσθαι. κέχρηται τῇ παροιμίᾳ Μένανδρος Ἀδελφοῖς (fr. 10 Kö.). κολόκυμα (Ar.

kappa 37 equ. 692)· τὸ κωφὸν κῦμα καὶ μὴ ἐπικαχλάζον. κόνδυλος · κόλαφος, ὅθεν 〈κονδυλίζω Ἀττικοὶ〉 τὸ κολαφίζω.

kappa 38 ὁ δὲ Κόλαφος παρ’ Ἐπιχάρμῳ ἐν Ἀγρωστίνῳ (fr. 1 Kaib.) καὶ παιδοτρίβου ὄνομα. κόντιλος · εἶδος ὀρνέου.

kappa 39* Εὔπολις (II 562 M. = fr. 334 K.)· ‘αὐτοῦ δ’ ὄπισθεν κατέλαβεν τὸν κόντιλον‘. κουροτρόφος γῆ · ταύτῃ δὲ θῦσαί φασι πρῶτον Ἐριχθόνιον ἐν ἀκροπόλει καὶ βωμὸν ἱδρύσασθαι χάριν ἀποδιδόντα τῇ γῇ τῶν τροφείων.

kappa 40 καταστῆσαι δὲ νόμιμον τοὺς θύοντάς τινι θεῷ ταύτῃ προθύειν. κρατευταί (I 214)· ὀβελοὶ ἢ λίθοι ἢ σιδήριά τινα, ἐφ’ ὧν οἱ ὀβελίσκοι ἐπιτίθενται.

kappa 42 κρεάγρα · ** καλεῖται δὲ καὶ ἁρπάγη καὶ λύκος. κρεῖον (I 206)· 〈κρεοδόχον〉 κανοῦν ἢ ἄλλο τι, ἐφ’ οὗ τὰ κρέα κόπτεται.

kappa 44 κριὸς τροφεῖα ἀπέτ〈ε〉ισεν (Men. fr. 804 Kö.)· παροιμία ἐπὶ τῶν ἀχαρίστων· ἐπεὶ τὰς φάτνας οὗτοι πλήττουσιν. κριοῦ διακονία · παρὰ τὴν παροιμίαν ‘κριὸς τὰ τροφεῖα 〈ἀπέτεισεν〉‘.

kappa 45* κυρίττει γὰρ τοὺς τρέφοντας. κρόκη · ῥοδάνη.

kappa 47 κροτῶνος ὑγιέστερος (cf. Ael. D. υ 2)· τοῦτο δεῖ ἐπὶ τοῦ ζῴου δέχεσθαι. τὸ γὰρ εἶναι πάντοθεν ὅμοιον καὶ μηδεμίαν ἔχειν διακοπήν, ἀλλ’ εἶναι λίαν ὁμαλόν. διὰ τοῦτο ἀπ’ αὐτοῦ λέγουσιν· ‘ὑγιέστερος κροτῶνοσ‘. κρουπέζαι · Βοιώτια ὑποδήματα ξύλινα, ἐν οἷς τὰς ἐλαίας πατοῦσιν.

kappa 48 οἱ δὲ κρόταλον, ᾧ ἐπιψοφοῦσιν οἱ αὐληταί [τὸ βάταλον]. Κρωβύλου ζεῦγος · ἐπὶ πονηρῶν, ἀπὸ πορνοβοσκοῦ δύο πόρνας ἔχοντος.

kappa 50 κρωσσός · κεράμιον, κρατὴρ ὕδατος, ὑδρία. κτίλος · ὁ προηγούμενος τῶν προβάτων κριός.

kappa 52 κυβησίνδα · ἐπὶ κεφαλῆς φέρειν ἢ κατὰ νώτου. Κυκλώπειος δωρεά (cf.

kappa 53* ι 369)· ἡ ὄψιμος καὶ ὀλεθρία. Κύλλου Πήραν · ἡ Πήρα χωρίον πρὸς τῷ Ὑμηττῷ, ἐν ᾧ ἱερὸν Ἀφροδίτης καὶ κρήνη, ἐξ ἧς αἱ πιοῦσαι εὐτοκοῦσι καὶ ἄγονοι γόνιμοι γίνονται.

kappa 54 Κρατῖνος δὲ ἐν Μαλθακοῖς (II 79 M. = fr. 102 K.) καλλιαν αὐτήν φησιν, οἱ δὲ κυλλουπηραν. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν τὴν φύσιν βιαζομένων ἐξ ἐπιτεχνήσεως. κυμβίον · εἶδος [τι] ποτηρίου.

kappa 56 Κυνάδρα · κρήνη ἐν Ἄργει, ἐξ ἧς ἔπινον οἱ ἐλευθερούμενοι τῶν οἰκετῶν, ὅθεν τὸ ‘ἐν Κυνάδρᾳ ἐλευθέριον ὕδωρ‘ παροιμιακῶς ἐπὶ τῆς κατ’ ἐλευθερίαν ζωῆς. ἐκλήθη δὲ οὕτως ἡ κρήνη διὰ τὸ τὸν Κέρβερον κύνα ταύτῃ διαδρᾶναι καὶ ἐλευθερωθῆναι. κυνοῦχος · θυλάκιον, μαρσίππιον.

kappa 58 κύρβεις · τρίγωνοι πίνακες, ἐν οἷς οἱ περὶ τῶν ἱερῶν νόμοι ἐγγεγραμμένοι ἦσαν καὶ οἱ πολιτικοί, ἄξονες δὲ τετράγωνοι, ἐν οἷς οἱ περὶ τῶν ἰδιωτικῶν. τινὲς δὲ ἀδιάφορα ταῦτά φασιν. κωλακρέται (cf.

kappa 59 Ar. B. p. 191, fr. 36 N.)· ταμίαι τοῦ δικαστικοῦ μισθοῦ, οἳ καὶ τὰ εἰς θεοὺς ἀναλισκόμενα παρεῖχον. Κωρυκαῖος 〈ἠκροάζετο · Κωρυκαῖον〉 θεόν τινα παρεισάγουσιν οἱ κωμικοὶ ἐπακροώμενον ἀπὸ παροιμίας τινός.

kappa 60 Κώρυκος γὰρ τῆς Παμφυλίας ἀκρωτήριον, παρ’ ᾧ πόλις Ἀττάλεια· ἐνταῦθα οἱ ἀπὸ τῆς πόλεως, ἵνα μηδὲν αὐτοὶ κακῶς πάσχωσιν ἀπὸ τῶν ἐφορμούντων τὴν ἄκραν λῃστῶν, ὑπαλλαττόμενοι πρὸς τοὺς ἐν ἄλλοις λιμέσιν ὁρμοῦντας κατηκροῶντο καὶ τοῖς λῃσταῖς ἀπήγγελλον, καὶ τίνες εἰσὶ καὶ ποῖ πλέουσιν· ὅθεν καὶ ἡ παροιμία· ‘τοῦ δ’ ἆρ’ ὁ Κωρυκαῖος ἠκροάζετο‘, Μένανδρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐγχειριδίῳ (fr. 137 Kö.). οἱ δὲ κωμικοὶ 〈τὸν〉 Κωρυκαῖον καὶ θεὸν εἰσάγουσιν· Διώξιππος Θησαυρῷ (IV 542 M. = fr. 2 K.)· ‘μὴ κατακούσειεν δέ μου ὁ Κωρυκαῖος. —B. ἀλλὰ μὴν κατακήκοεν σοῦ κατακολουθῶν ἔνδοθεν‘. ὁ δὲ Ἔφορος ἐν γ′ (FG Hist 70, 27)· ‘ὑπ’ ἄκρᾳ, φησίν, ᾤκουν οἱ καλούμενοι Κωρυκαῖοι ἀνατεινούσῃ εἰς πέλαγος, σύμμ〈ε〉ικτοί τινες κατασκευασάμενοι πολισμάτιον, γείτονες Μυοννήσῳ. τοῖς οὖν ὁρμοῦσιν ἐμπόροις προσῄεσαν ὡς ἐωνούμενοι 〈ἢ〉 σύμπλοοι. εἶτα μαθόντες, τί τε κομίζουσι καὶ ποῖ πλέουσιν, τοῖς Μυοννησίοις ἀπήγγελλον κἀκεῖνοι ἐπετίθεντο αὐτοῖς· ἐλάμβανον δὲ καὶ αὐτοὶ μέρη τινὰ τῶν λύτρων‘. κωρυκίς · 〈θύλακος, πήρα〉. [15]

kappa 61 Ἀριστοφάνης 〈Ὁλκάσι〉 (II 1123 M. = fr. 415 K.)· ‘σπυρὶς οὐ μικρὰ καὶ κωρυκίς, ἣ καὶ τοὺς μάττοντας ἐγείρει‘. κώρυκος · θυλάκιον.

lambda 1 λαγὼς καθεύδων · παροιμία ἐπὶ τῶν προσποιουμένων καθεύδειν. λαγὼς περὶ τῶν κρεῶν · παροιμία.

lambda 2 δειλὸν γὰρ τὸ ζῷον [ὁ λαγώς]. ὅθεν καὶ ὁ Ῥηγῖνος λαγὼς ἐλέχθη· καὶ γὰρ τοὺς Ῥηγίνους ἐπὶ δειλίᾳ ἐκωμῴδουν. παροιμία δέ τίς ἐστιν ‘λαγὼς τὴν περὶ τῶν κρεῶν τρέχει‘ ἐπὶ τῶν διακινδυνευόντων ταῖς ψυχαῖς καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων ταττομένη. λάρος ἐν νεμέσει · παροιμία ἐπὶ τῶν ταχὺ ἀποδιδόντων.

lambda 4 λαῦραι · ῥῦμαι, κῶμαι, στενωποί, ὑπόνομοι. Λείβηθρα (TGF.

lambda 5 p. 9s. N 2 )· ὄρος Μακεδονίας, οὗ 〈τὸ〉 ἐθνικὸν οἱ Λειβήθριοι, οἷς ἐνδιατρῖψαί ποτε ὁ Ὀρφεὺς λέγεται. λείβηθρον · ὀχετὸς ὑδραγωγός.

lambda 7 λέμβος καὶ ἐφόλκιον (cf. com. fr. ad. 1071 K.)· σκάφος ἢ πλοῖον. λέμφοι · τὰ θνησείδια τῶν θρεμμάτων καὶ ξηρὰ ὑπὸ νόσου.

lambda 9 λέοντα ξυρᾷς · παροιμία ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων. λεπτὴν πλέκειν · λεγόμενόν τι ἐπὶ τῶν πενήτων, οἷον ἀκριβῆ, στενήν, ἀσθενῆ.

lambda 11* Λέρνη θεατῶν · ἀντὶ τοῦ 〈Λέρνη〉 κακῶν 〈τὸ〉 θέατρον Κρατῖνος (II 201 M. = fr. 347 K.). οἱ μὲν διὰ τὴν ὕδραν, οἱ δὲ διὰ τοὺς Ἀργείους τὰ καθάρματα ἐκεῖ ἀποφέρειν. ὁ γὰρ Δαναὸς ἐν τῇ Λέρνῃ τὰς κεφαλὰς τῶν Αἰγυπτιαδῶν ἀπέθετο καὶ ὡς εἰκὸς ἐφ’ ὕβρει ἐκέλευσε τὰ δυσοιώνιστα ἐκεῖ ῥίπτειν. Λεσβίων ἄξια · παροιμία ἐπὶ τῶν ἀπράκτων.

lambda 13 λευκὴν μᾶζαν φυρῶ σοι · παροιμία ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων. λευκὴ στάθμη · ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων ἢ ἐπὶ τῶν μηδὲν συνιέντων.

lambda 14 ἡ γὰρ ἐν τοῖς λευκοῖς λίθοις στάθμη λευκὴ οὐδὲν δύναται δεικνύναι διὰ τὸ μὴ παραλλάττειν καθάπερ ἡ διὰ τῆς μίλτου γινομένη. Σοφοκλῆς Κηδαλίωνι (fr. 307 N. 2 = 330 P.)· ‘τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι, οὐ μᾶλλον ἢ λευκῷ 〈’ν〉 λίθῳ λευκῇ στάθμῃ‘. ἔστι δὲ στάθμη σπάρτος τεκτονική. λευκοί · οἱ δειλοί, καὶ λευκόπυγοι οἱ αὐτοί. [5]

lambda 16 Λήμνιον κακὸν βλέπων · πυρῶδες. καὶ παροιμία ‘Λήμνιον κακόν‘. ἐκ γὰρ Ἀθηνῶν ἁρπάσαντες γυναῖκας οἱ Λήμνιοι καὶ τεκνοποιησάμενοι ἐξ αὐτῶν κατέσφαξαν αὐτὰς μετὰ τῶν τέκνων. ἐπὶ δὲ Θόαντος αἱ γυναῖκες τοὺς ἄνδρας ἀνεῖλον ἅμα ταῖς τῶν Θρᾳκῶν γυναιξίν, ὅτι αὐταῖς οὐ προσεῖχον ἐπὶ τῇ δυσωδίᾳ, ἣν Μυρσίλος μὲν (FHG IV 458, fr. 7) διὰ τὸν Μηδείας ἐπὶ τῇ Ὑψιπύλῃ ζῆλον κατασχεῖν 〈φησι〉 τὰς Λημνίας, Καύκαλος δὲ (FG Hist. 38, 2) διὰ τὸ ὀλιγωρῆσαι 〈αὐτὰσ〉 τῆς Ἀφροδίτης. ἔνθεν τὰ μεγάλα κακὰ ‘Λήμνια‘ λέγεται (cf. Hdt. VI 138, 4; Aesch. Cho. 631). λίγδος · χωνεία, ἀλοιφή. [5]

lambda 17 καὶ λίγδοι· χωνευτήρια, χοάναι, ἡ τῶν νομισμάτων διατύπωσις. λιμῷ Μηλίῳ · παροιμία, ἐπεὶ Ἀθηναῖοι ἐκάκωσαν Μηλίους πολιορκοῦντες λιμῷ, ὡς Θουκυδίδης ἐν τῇ πέμπτῃ (116).

lambda 19

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λίνον λίνῳ συνάπτεις · ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν δρώντων. Στράττις Ποταμίοις (II 777 M. = fr. 38 K.) [καὶ Ἀριστείδης ὁ ῥήτωρ (or. 46 p. 192 Ddf.)] καὶ Πλάτων (Euthyd. 298c). λίσπαι · οἱ μέσοι διαπεπρισμένοι ἀστράγαλοι καὶ ἐκτετριμμένοι (Plat.

lambda 20 syinp. 193a). καὶ ‘λίσπη γλῶσσα‘ (Ar. ran. 826s.) ἡ ἐπιτετριμμένη. λέγονται δὲ καὶ οἱ Ἀθηναῖοι ἐπιθετικῶς λίσπαι διὰ τὸ ναυτικοὺς ὄντας ἕνεκα τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς ἐφέδρας ἀπογλούτους εἶναι. ἐν ᾧ διὰ τὸ Θησέα μετὰ Πειρίθου καταβάντα εἰς Ἅιδου καὶ πρός τινα πέτραν ὑπὸ Περσεφόνης ἐπικαθισθέντα σὺν τῷ Πειρίθῳ 〈ταύτῃ προσφυῆναι〉, Ἡρακλέους 〈δὲ〉 ἐπὶ τὸν Κέρβερον κατελθόντος παρὰ τῆς θεοῦ τε αὐτὸν ἐξαιτησαμένου καὶ τῆς πέτρας ἀποσπῶντος ἐγκαταλειφθῆναι τὸ προσηνωμένον αὐτῇ τῶν γλουτῶν μέρος. διόπερ εἰς τιμὴν ἐκείνου καὶ τοὺς λοιποὺς Ἀθηναίους οὕτως ἐπονομάζεσθαι. λίτρα · ἧν μὲν καὶ νόμισμά τι, ὡς Δίφιλος (IV 409 M.

lambda 21* = fr. 71 K.). ἐπὶ δὲ τοῦ σταθμοῦ Ἐπίχαρμός τε (fr. 40 Kaib.) καὶ Σώφρων (fr. 148 Kaib.) ἐχρήσαντο. Σοφοκλῆς δὲ (fr. 962 N. 2 = 1065 P.) λιτροσκόπον φησὶ τὸν ἀργυραμοιβόν, ἀπὸ τοῦ νομίσματος. Λοκρῶν σύνθημα · παροιμία ἐπὶ τῶν παρακρουομένων.

lambda 22 λέγονται γὰρ Λοκροὶ Πελοποννησίοις συνθέμενοί ποτε εἶτα Ἡρακλείδαις βοηθῆσαι. λοφεῖον · θήκη λόφου περικεφαλαίας.

lambda 24 Λυδὸς ἐν μεσημβρίᾳ παίζει (cf. com. fr. ad. 720 K.)· ἐπὶ τῶν ἀκολάστων ὡς ταύταις ταῖς ὥραις ἀκολασταινόντων. λύκος ἀετὸν φεύγει · παροιμία ἐπὶ τῶν ἀφύκτων.

lambda 26 λύκος ἔχανεν · παροιμία. λέγουσι [δὲ] τὸν λύκον, ἐπειδὰν ἁρπάσαι τι βούληται, κεχηνότα παραγίνεσθαι ἐπ’ αὐτό. ὅταν οὖν μὴ λάβῃ, ὃ προαιρεῖται, κατὰ κενοῦ αὐτὸν χανεῖν φασιν. ἐπὶ τῶν συνελπιζόντων χρηματιεῖσθαι, διαμαρτανόντων δὲ λέγουσιν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις β′ (II 1087 M. = fr. 337 K.). Λύκου δεκάς · παροιμιῶδες, ἐπεὶ Λύκος ὁ ἥρως ἵδρυτο παρὰ τοῖς δικαστηρίοις, ἔνθα προσήδρευον οἱ συκοφάνται.

lambda 27 ἀφώριστο δὲ αὐτῷ τριώβολον τῆς ἡμέρας. Λύσιοι τελεταί · αἱ Διονύσου.

lambda 28 Βοιωτοὶ γὰρ ἁλόντες ὑπὸ Θρᾳκῶν καὶ φυγόντες εἰς Τροφωνίου, κατ’ ὄναρ ἐκείνου Διόνυσον ἔσεσθαι βοηθὸν φήσαντος, μεθύουσιν ἐπιθέμενοι τοῖς Θρᾳξὶν ἔλυσαν ἀλλήλους καὶ Διονύσου Λυσίου ἱερὸν ἱδρύσαντο, ὡς Ἡρακλείδης ὁ Ποντικός (fr. 101 Voss), ὡς Ἀριστοφάνης δὲ (p. 240, fr. 10 N., sed cf. Wentz., Ἐπικλ. VII 43) διὰ τὸ λυτρώσασθαι Θηβαίους παρὰ Ναξίων ἄμπελον. λύχνον ἐν μεσημβρίᾳ ἅπτεις (com.

lambda 29 fr. ad. 721 K.)· ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ τι ποιούντων. λωτός · αὐλός τις.

mu 1 μαγδαλιά · ζύμωμά τι, ἐν ᾧ ἀποματτόμενοι τὰ ἐκ τῶν βρωμάτων λιπαρὰ ῥύπη ἐρρίπτουν κυσίν. ὅθεν καὶ παροιμία ἐπὶ τῶν λίχνων καὶ παρασίτων τὸ ‘κύων ζῶν ἀπὸ μαγδαλιᾶσ‘. μάγειρος · ὁ τὰς μάζας μερίζων.

mu 3 μαγίδες · μᾶζαι καὶ τὰ τῇ Ἑκάτῃ συντελούμενα δεῖπνα. οὕτως Ἀριστοφάνης (II 1215 M. = fr. 813 K.). μᾶλλον ὁ Φρύξ · ἡ παροιμία ἐνθένδε· οἱ ἑπτὰ σοφοὶ ἐρωτώμενοι ὑπὸ Κροίσου, τίς τῶν ὄντων εὐδαιμονέστατος, οἱ μὲν ἀπεκρίναντο τὰ ἄγρια ζῷα, ὑπὲρ γὰρ τῆς αὐτονομίας ἀποθνῄσκει· οἱ δὲ πελαργούς, δίχα γὰρ νόμου τῇ φύσει τὸ δίκαιον ἔχουσιν.

mu 4 Σόλων δὲ οὐδένα πρὸ τῆς τελευταίας ἡμέρας. παρεστὼς δὲ Αἴσωπος ὁ λογοποιὸς Φρὺξ τὸ γένος ‘τοσοῦτον‘, εἶπεν, ‘ὑπερέχεις τῶν ἄλλων, ὅσον θάλασσα ποταμῶν‘. ἀκούσας δὲ Κροῖσος εἶπε· ‘μᾶλλον ὁ Φρύξ‘. μανδαλωτόν ; εἶδος φιλήματος ὡς γίγγλυμον τὸν καὶ δρεπτὸν καὶ παιδάριον καὶ ἕτερα.

mu 6* μάρσιππος · σάκκος, θυλάκιον, σακέλλιον. μασχάλην αἴρεις · ἀντὶ τοῦ κωθωνισθήσῃ.

mu 7

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ γὰρ μεθύοντες ᾖρον τὰς μασχάλας καταμωκώμενοι. καὶ οἱ μνηστῆρες χεῖρας ἀνίσχοντες γέλῳ ἔκθανον (cf. ς 99s.). μασχαλίσματα · Ἀριστοφάνης (p.

mu 8 221 fr. 78 N.) παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρᾳ (v. 445) κεῖσθαι τὴν λέξιν ἔθος σημαίνουσαν. οἱ γὰρ φονεύσαντες ἐξ ἐπιβουλῆς τινα[ς] ὑπὲρ τοῦ τὴν μῆνιν ἐκκλίνειν ἀκρωτηριάσαντες μόρια τούτου καὶ ὁρμαθίσαντες ἐξεκρέμασαν τοῦ τραχήλου διὰ τῶν μασχαλῶν διείραντες καὶ μασχαλίσματα προσηγόρευσαν. σημαίνει δὲ ἡ λέξις καὶ τὰ τοῖς μηροῖς ἐπιτιθέμενα ἀπὸ τῶν ὤμων κρέα ἐν ταῖς τῶν θεῶν θυσίαις. μέγαρον · κοινῶς ὑπερῷον, οἴκημα, ἰδικῶς 〈δὲ〉 μέγαρα· κατάγεια οἰκήματα ταῖν θεαῖν.

mu 10 μειρακιεύεσθαι · ὡς μειράκιον ἀθύρειν· μεῖραξ γὰρ τὸ μειράκιον. Μελαναιγίδα Διόνυσον ἱδρύσαντο ἐκ τοιαύτης αἰτίας.

mu 11 αἱ τοῦ Ἐλευθῆρος θυγατέρες θεασάμεναι φάσμα τοῦ Διονύσου ἔχον μέλαιναν αἰγίδα ἐμέμψαντο· ὁ δὲ ὀργισθεὶς ἐξέμηνεν αὐτάς. μετὰ ταῦτα ὁ Ἐλευθὴρ ἔλαβε χρησμὸν ἐπὶ παύσει τῆς μανίας τιμῆσαι Μελαναιγίδα Διόνυσον. μερίς, οὐ πνίξ · τῶν δυνατωτέρων ἁρπαζόντων τὰς τροφὰς τῶν ἀσθενεστέρων καὶ ἐπὶ τούτῳ ἐκείνων πνιγομένων, ὅτι αὐτοῖς βοηθεῖν οὐκ ἠδύναντο, ἐπενοήθη ὁ διαμερισμός.

mu 12 καὶ ἕκαστος ἑκάστῳ τὸ ἴσον λαμβάνων ἐπεφώνει ‘μερίς, οὐ πνίξ‘. μέσακμον · τὸ τῷ κανόνι ὑποδεδεμένον, ὃ καλεῖται καῖρος.

mu 14 μετὰ Λέσβιον ᾠδόν · παροιμία λεγομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων. οὕτω Κρατῖνος (II 159 M. = fr. 243 K.). οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο. ἀκαταστατούσης γάρ ποτε τῆς πόλεως αὐτῶν χρησμὸς ἐγένετο, τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι. οἱ δ’ ἐξ Ἀντίσσης Τέρπανδρον ἐφ’ αἵματι φεύγοντα μεταπεμψάμενοι ἤκουον αὐτοῦ ἐν τοῖς συσσιτίοις καὶ κατεστάλησαν. ἐκαλοῦντο δὲ καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν πρῶτον μὲν ἀπόγονοι αὐτοῦ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος, εἶθ’ οὕτως οἱ λοιποὶ ‘μετὰ Λέσβιον ᾠδόν‘. μέτρῳ ὕδωρ πίνοντες, ἀμετρὶ δὲ μᾶζαν ἔδοντες · οὗτος ὁ στίχος εἰς παροιμίαν περιέστη ἔκ τινος χρησμοῦ, ὃν ἀνεῖλεν ὁ θεὸς Συβαρίταις.

mu 15* ὑβρισταὶ γὰρ ὄντες καὶ ἀμετροπόται ἀπώλοντο ὑπὸ Κροτωνιατῶν. τοῖς οὖν διαφυγοῦσιν αὐτῶν οὕτως ἐχρήσθη. μὴ παιδὶ μάχαιραν · ἐπὶ τῶν εἰκῇ ἐγχειριζόντων.

mu 16 καὶ Εὔπολις Δήμοις (II 467 M. = fr. 121 K.)· ‘μὴ παιδὶ τὰ κοινά‘. 〈 μὴ σύγε〉 μελαμπύγου τύχοις · ** μελαμπυγοι ἐγένοντο πέρπεροι λίμνης υἱοί.

mu 17 ἀκολοσταινόντων 〈δὲ〉 αὐτῶν πολλὰ ἡ μήτηρ ἔλεγε φυλάσσεσθαι, μήποτε ἐμπέσωσιν εἰς μελάμπυγον. ἐμπεσόντες οὖν εἰς Ἡρακλέα ἐπ’ ἀναφόρῳ 〈κατωκάρα〉 ἐδέθησαν. εἶτα ὁρῶν αὐτοὺς γελῶντας καὶ κατακύπτοντας ἐπυνθάνετο τὴν αἰτίαν. οἱ δὲ ἔλεγον, ὅτι λόγιον ἦν τὸ τῆς μητρός, ἐμπεσεῖσθαι ἡμᾶς εἰς μελάμπυγον. καὶ γελάσαντα 〈λέγεται〉 τὸν Ἡρακλέα ἀφεῖναι αὐτοὺς τῶν δεσμῶν. μία χελιδών · παροιμιῶδες τοῦτο, ὅτι μία χελιδὼν ἔαρ οὐ ποιεῖ.

mu 18 βούλεται δὲ εἰπεῖν, ὅτι μία ἡμέρα οὐκ ἐᾷ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν οὐδὲ δυσημερία μία [τὸν σοφὸν] εἰς ἀμαθίαν. μέμνηται δὲ αὐτῆς Ἀριστοτέλης ὁ φιλόσοφος ἐν Ἠθικοῖς (1098 α 18). μικρὸν τοῦ ὀβολοῦ · τίμιον.

mu 19 λέγεται δὲ ἐπὶ τῶν πονηρῶν. Εὔπολις Μαρικᾷ (II 506 M. = fr. 185 K.)· ‘τῶν γὰρ πονηρῶν μικρόν ἐστι τοὐβολοῦ‘. μίλτος · δρόσος καταληφθεῖσα ὑπὸ καύσωνος, ὑφ’ ἧς διαφθείρεται πᾶς σπόριμος καρπός.

mu 21 μιλτωρυχία · τόπος, ἐν ᾧ μίλτος ὀρύσσεται. Ἀμειψίας (II 707 M. = fr. 15 K.). μισήτη · τὴν καταφερῆ μισήτην ἔλεγον, οὐ παρὰ τὸ μῖσος, ἀλλὰ παρὰ τὸ μίσγεσθαι —τὸ γὰρ μῖσος ἄποθέν

ἐστι τοῦ μίσγεσθαι· ὃ γὰρ μισεῖται μεμόνωται καὶ ἀμιγές ἐστιν—οἱονεὶ μισγήτην τινὰ οὖσαν, ὃ καὶ βέλτιον.

mu 22* καὶ τὸ ἐν παροιμίας δὲ μέρει λεγόμενον (fr. iamb. ad. 1 D 2 = Arch. fr. 184 Bgk.)· ‘περὶ σφυρὸν παχεῖα μισήτη γυνή‘ κατὰ τοῦτο εἰρῆσθαι δοκεῖ. καὶ ὁ Κρατῖνός που τοῦτο ἔφη (II 202 M. = fr. 316 K.)· ‘μισῆται δὲ γυναῖκες ὀλίσβοισιν χρήσονται‘. τὸν δὲ ἁπλῶς μισητὸν [τὸν] ἀνίκανον λέγει (deest M.—K.—Dem.). μεταφορικῶς δὲ καὶ ἐπὶ τῆς ἀπλήστου κατὰ τὴν τροφὴν τίθεται ἡ λέξις. μονίπποις (Plat.

mu 23 lgg. 834c)· τοῖς ἐπὶ ἑνὸς ἵππου ἀγωνιζομένοις δρόμον. μυῖα χαλκῆ καὶ μυίνδα · παιδιᾶς εἶδος, ἣν οἱ παίζοντες ἀποτετακότες τὰς χεῖρας ἐπιμύουσιν, ἕως ἂν ἐπιλάβωνταί τινος.

mu 25 Μυκώνιος γείτων · αὕτη τάττεται κατὰ τῶν διαβεβλημένων ἐπὶ γλισχρότητι καὶ σμικροπρεπείᾳ παρὰ τὴν σμικρότητα τῆς νήσου τῆς Μύκωνος καὶ εὐτέλειαν. Μύλ 〈λ〉 ος 〈πάντ’〉 ἀκούει (cf.

mu 26 Crat. II 70 M. = fr. 89 K.)· ἐπὶ τῶν ἀκουόντων μέν, [μὴ] προσποιουμένων δὲ 〈μὴ〉 ἀκούειν. μυσάχνη · ἡ πόρνη παρὰ Ἀρχιλόχῳ καὶ ἐργάτις καὶ παχεῖα (Arch.

mu 27* fr. 184 Bgk. cf. fr. iamb. ad. 1 D 2 ). Ἱππῶναξ δὲ (fr. 110 Bgk.) βορβορόπιν καὶ ἀκάθαρτον ταύτην φησὶν ἀπὸ τοῦ βορβόρου καὶ ἀνασυρτόπολιν ἀπὸ τοῦ ἀνασύρεσθαι. Ἀνακρέων δὲ (fr. 156—159 Bgk.) πανδοσίαν καὶ λεωφόρον καὶ μανιόκηπον· κῆπος γὰρ τὸ μόριον· Εὔπολις (II 488 M. = fr. 161 K.) εἰλίποδας ἀπὸ τῆς εἰλήσεως τῶν ποδῶν τῆς κατὰ μ 〈ε〉 ῖξιν. μῦς λευκός (Crat.

mu 28 II 46 M. = fr. 53 K.; Phil. IV 45 M. = fr. 62 K.)· οἱ κατοικίδιοι μύες ἄγαν πρὸς τὴν ὀχείαν κεκίνηνται καὶ μάλιστα οἱ λευκοί. οὗτοι δέ εἰσιν θήλεις. ἐπὶ τῶν ἀκρατῶν περὶ τὰ ἀφροδίσια ἡ παροιμία εἴρηται μῦς πίσσης γεύεται (cf.

mu 29 Theocr. XIV 51)· ἐπὶ τῶν νεωστὶ ἀπαλλασσόντων μετὰ κόπου. καὶ ‘ὅσα μῦς ἐν πίσσῃ‘ ἀπὸ Μυὸς τοῦ Ταραντίνου πύκτου κακῶς Ὀλυμπίασιν ἀπαλλάξαντος. μυστιλᾶσθαι · κοιλαίνειν ψωμούς (cf.

mu 30 Ar. equ. 1168). Μυσῶν λεία · ἐπὶ τῶν καταφρονητῶν καὶ εὐκαταφρονήτων ** μωρότερος 〈εἶ〉 Μορύχου · παροιμία.

mu 32 Πολέμων (fr. 73 Pr.) λέγεσθαι ταύτην παρὰ Σικελιώταις οὕτως· ‘μωρότερος εἶ Μορύχου, ὃς τἄνδὸν ἀφεὶς ἔξω τᾶς οἰκίας κάθηται‘. Μόρυχος δὲ παρ’ αὐτοῖς ὁ Διόνυσος κατ’ ἐπίθετον διὰ τὸ μολύνεσθαι αὐτοῦ τὸ πρόσωπον ἐν τῇ τρύγῃ γλεύκει τε καὶ σύκοις. μορύξαι γὰρ τὸ μολῦναι. Ὅμηρος γοῦν τὸ μεμολυμμένος μεμορυχμένος φησίν (ν 435). εὐήθειαν δὲ τούτου καταγνωσθῆναι, παρόσον ἔξω τοῦ νεὼ ἐν ὑπαίθρῳ αὐτοῦ τὸ ἄγαλμα καθίδρυται παρὰ τῇ εἰσόδῳ. τάττεται δὲ ἐπὶ τῶν εὔηθές τι διαπραττομένων. νεοττός · ἡ τοῦ ᾠοῦ λέκιθος καὶ τὸ πυρρόν.

nu 1 Μένανδρος Ἀνδρίᾳ (fr. 37 Kö.)· ‘καὶ τεττάρων ᾠῶν μετὰ τοῦτο, φίλταται, 〈δότε〉 τὸν νεοττόν‘. Κλέαρχος ἐν τῷ Περὶ θινῶν συγγράμματί φησιν (cf. fr. 76b We.)· ‘ 〈ὠχρόν〉 , ὃ διαδίδοται ἀρχὴ ὑπὸ τὸν ὑμένα λευκὸν 〈ὄν〉 · ἐν τούτῳ γὰρ τὸ σπέρμα καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ· διεψεύσθησαν γὰρ οἱ πρῶτοι τοῦτο φήσαντες. καὶ ἔστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματοσ‘. ὅτι δὲ τὸ ὠχρὸν νεοττὸν ἔλεγον, μαρτυρεῖ καὶ Χρύσιππος ἐν τῷ Περὶ χρησμῶν (St. V. Fr. 1202, cf. 1201). ὄναρ γάρ τινά φησι θεασάμενον ἐκ τῆς κλίνης αὐτοῦ κρέμασθαι ᾠὰ προσαναθέσθαι ὀνειροκρίτῃ. τὸν δὲ εἰπεῖν· ‘ὀρύττων θησαυρὸν εὑρήσεις κατὰ τὸν τόπον ἐκεῖνον‘. εὑρόντα δὲ σταμνίον, ἐν ᾧ ἀργύριον ἦν καὶ χρυσίον, ἐνεγκεῖν τι τοῦ ἀργυρίου τῷ μάντει. τὸν δὲ μάντιν εἰπεῖν· ‘τοῦ δὲ νεοττοῦ οὐδέν μοι δίδως;‘ καὶ Δίφιλος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κέχρηται τῇ λέξει (IV 427 M. = fr. 121 K.)· ‘ᾠῶν δ’ ἐν αὐτῇ διέπρεπεν νεόττια‘. νοῦς οὐκ ἔνι Κενταύροισι · παροιμία ἐπὶ τῶν ἀδυνάτων καὶ ἀνοήτων ταττομένη.

nu 3 νυκτάλωψ · ὁ νύκτωρ ἀλαὸς τοὺς ὦπας. καὶ νυκταλωπ〈ι〉ῶν· ὁ νυστάζων. νύμφαι · σκώληκες οἱ ἐν τοῖς τῶν μελισσῶν κυττάροις, ὅταν ἤδη πτεροποιεῖν ἄρξωνται.

nu 4 οἱ δ’ ἁπλῶς τοὺς πτερωτοὺς μύρμηκας, Σάμιοι. καὶ τὸ ἀνὰ μέσον τῶν γυναικείων αἰδοίων νύμφην καλοῦσι. καὶ τῶν ῥόδων αἱ κάλυκες αἱ μεμυκυῖαι νύμφαι· καὶ αἱ νεόγαμοι κόραι [νύμφαι]. καὶ αἱ Μοῦσαι δὲ ὑπὸ Λυδῶν νύμφαι 〈καλοῦνται〉. ὅτι δὲ πάντων τῶν καρπῶν αἱ ἐκφύσεις οὕτως, δῆλον. περὶ δὲ τῶν θεῶν Διονυσίῳ πᾶσα ἱστορία συνῆκται ἐν τριάκοντα καὶ τρισὶ βιβλίοις (FHG. II 11, sed cf. RE V 933; Herm. 33, 288.). ξάνιον · κτένιον.

xi 2* ξηραλοιφία καὶ ξηραλοιφεῖν · τὸ ἄνευ λουτροῦ ἀλείφεσθαι. ξιφίζειν · τὸ χειροτονεῖν παραπλήσιον ξίφει τὸ τῆς χειρὸς σχῆμα ποιοῦντα.

xi 4 ξιφισμός · σχῆμα τῆς ἐμμελείας καλουμένης ὀρχήσεως. ὀβελίας ἄρτος · ὁ ἐπὶ ὀβελῶν ὀπτώμενος.

omicron 1 λέγονται δὲ καὶ ὀβελιαφόροι οἱ ἐν τοῖς Διονυσίοις τοὺς ὀβελίας ἄρτους φέροντες, ἐτάσσετο δὲ ἡ λέξις ἐπὶ τῶν ἐργατῶν καὶ ἀγροίκων. ὄγκαιον · ἀγγεῖον πλεκτὸν οἷον σπυρίς, ἐν ᾧ αἱ ἀκίδες τῶν βελῶν, αἳ καὶ ὄγκοι.

omicron 3* ὀγκίαν · τὸν σταθμόν. Σώφρων (fr. 151 Kaib.) καὶ Ἐπίχαρμος (fr. 203 Kaib.). ὄγκοι · γωνίαι.

omicron 5* ὀδοντισμός · εἶδος αὐλήσεως. οἴαξ · πηδάλιον, αὐχήν.

omicron 6 Διογενιανὸς δὲ (cf. He. ο 175) οἴακας λέγει, οἷς τὰ πηδάλια ἐπιστρέφουσιν, ἤγουν κανόνας καὶ κρίκους, δι’ ὧν ἱμάντες διείρονται. οἴκοι γενοίμην · ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.

omicron 8 οἰκότριβες · οἱ ἐκ δούλων δοῦλοι, οἳ καὶ οἰκογενεῖς λέγονται. ἐνομίζοντο δὲ τὸ παλαιὸν ἀτιμότεροι τῶν ὠνητῶν, ὅτι οἱ μὲν ἐκ δούλων, οἱ δὲ ἐξ ἐλευθέρων ἐγένοντο καὶ οἱ μὲν ἀεὶ δοῦλοι, οἱ δὲ ὕστερον. Οἰναῖοι τὴν χαράδραν · ἐπὶ τῶν ἐπ’ ὠφελείᾳ παρακαλουμένων, βλαπτόντων δέ.

omicron 9 τῶν γὰρ Οἰναίων παροχετευόντων τὴν χαράδραν ἐπιρραγὲν ὕδωρ πολὺ κατέκλυσε πάντα. οἶνος ἄνευ παίδων · δύο παροιμίαι, ἡ μὲν ‘οἶνος καὶ ἀλήθεια‘ (Alc.

omicron 10 fr. 66 D. 2 ; Theocr. XXIX 1), ἡ δὲ ‘οἶνος καὶ παῖδες ἀληθεῖσ‘. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν ἁπλοϊζομένων καὶ τὴν ἀλήθειαν λεγόντων. οἰσύα · ἀκανθώδης βοτάνη, ἐξ ἧς πλέκονται σχοινία.

omicron 12 ὁ κάνης τῆς κοίτης ὑπερέχει (cf. Cratet. II 236 M. = fr. 12 K.)· ἐπὶ τῶν τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων. Ὄ〈κ〉νου π〈λ〉οκαί · ἐπὶ τῶν ἀνηνύτων καὶ τῶν μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν.

omicron 13 Ἀρίσταρχος γὰρ Κρατῖνον (II 203 M. = fr. 348 K.) ὑποθέσθαι φησὶν 〈Ὄκνον〉 τινὰ ἐν Ἅιδου σχοινίον πλέκοντα, ὄνον δὲ τὸ πλεκόμενον ἀπεσθίοντα [οἷον ἀποκείροντα]. ὁ Κρὴς τὴν θάλασσαν (cf.

omicron 14 Alcm. fr. 115 Bgk.; Alc. fr. 223 Lob.)· ἰδὼν γὰρ αὐτὴν γαληνίζουσαν ἔφη· ‘εἰ μὴ ᾔδειν σε‘. ὀκτώπουν · σκορπίον.

omicron 15 Κρατῖνος Θρᾴτταις (II 65 M. = fr. 77 K.)· ‘ὀκτώπουν ἀνεγείρεις·‘ παροιμία γάρ· ‘σκορπίον [ὀκτώπουν] ἀνεγείρεισ‘. ἐν δὲ ταῖς Αἰσχύλου Ξαντρίαις (fr. 169 N. 2 ) ἡ Λύσσα ἐπιθειάζουσα ταῖς Βάκχαις φησίν· ‘ἐκ ποδῶν δ’ ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα, κέντημα γλώσσης, σκορπίου βέλος λέγω‘. ὄμπνιος λειμών · ὁ σῖτος καὶ οἱ Δημητριακοὶ καρποί· ἐπεὶ Ὀμπνία ἡ Δημήτηρ λέγεται.

omicron 17

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄνος ἄγων μυστήρια (cf. Ar. ran. 159)· ἐπὶ τῶν ἑτέροις κακοπαθούντων καὶ παρεχόντων εὐφροσύνην διὰ τὸ τῷ καιρῷ τῶν μεγάλων μυστηρίων ἐξ ἄστεος Ἐλευσῖνάδε τοὺς ὄνους κομίζειν αὐτοῖς τὰ ἐπιτήδεια. τότε γὰρ θλίβονται μᾶλλον τὰ πρὸς τὴν χρείαν ἀγόμενα βαστάζοντες. Δήμων (FHG. I 379 fr. 7) ἐπὶ τοῦ μύλου λέγεσθαί φησιν, ὅτι στεφανοῦσιν αὐτὸν τότε. ὄνος εἰς ἄχυρα (cf.

omicron 18 Phil. IV 61 M. = fr. 188 K.)· παροιμία ἐπὶ τῶν παρ' ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων καὶ τούτοις ἀπολαυστικῶς χρωμένων. ὄνος λύρας · Μένανδρος Ψοφοδεεῖ (fr.

omicron 19 460 Kö.). ἡ δ' ὅλη παροιμία· 'ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗσ'. λέγεται δὲ ἐπὶ τῶν μὴ συγκατατιθεμένων μηδὲ ἐπαινούντων. ὄνος ὕεται · ἐπὶ τῶν μὴ ἐπιστρεφομένων.

omicron 20 Κηφισόδωρος Ἀμαζόσιν (II 883 M. = fr. 1 K.)· 'σκώπτεις μ', ἐγὼ δὲ τοῖς λόγοις ὄνος ὕομαι'. Κρατῖνος Δραπέτισιν (II 48 M. = fr. 52 K.)· 'οἱ δὲ πυππάζουσι περιτρέχοντες, ὁ δ' ὄνος ὕεται'. ὄνου θάνατος · ἐπὶ τῶν ἀλλόκοτα διηγουμένων.

omicron 22* ὃν οὐ θρέψει Κῶς, ἐκεῖνον οὐδὲ Αἴγυπτος · παροιμία ** ὄνου παρακύψεως · ὄνου παρακύψαντος ὄρνιθες πτοηθεῖσαι ἱστὸν ἀνέρρηξαν.

omicron 23 ὁ δὲ δεσπότης τοῦ ἱστοῦ τῷ τοῦ ὄνου δεσπότῃ ἐνεκάλεσεν. ὅθεν ἡ παροιμία. ὄνου σκιά καὶ περὶ ὄνου σκιᾶς · Σοφοκλῆς Κηδαλίωνι (fr.

omicron 24 308 N. 2 = 331 P.)· 'ὅς' ἂν γένηται, ταῦτα πάντ' ὄνου σκιά'. Ἀριστοφάνης Δαιδάλῳ (II 1019 M. = fr. 192 K.)· 'περὶ τοῦ γὰρ ὑμῖν ὁ πόλεμος νῦν ἐστι; περὶ ὄνου σκιᾶσ'. Ἀριστοτέλης δὲ ἐν Διδασκαλίαις (fr. 625 R.) καὶ δράματός τινος φέρει ἐπιγραφὴν Ὄνου σκιάν. οἱ δὲ πρῶτον φθέγξασθαι τοῦτο Δημοσθένην ἀπολογούμενον ὑπέρ τινος ἐπὶ μεγάλαις αἰτίαις κρινομένου, ὡς ἑώρα θορυβοῦντας τοὺς ἀκροωμένους. παρακαλέσας γὰρ αὐτοὺς μικρὰ προσέχειν ἤρξατο διηγεῖσθαι, ὡς Μέγαράδε ἀπιὼν μισθώσαιτο ὄνον, καύματος δὲ ἐν τῇ ὁδῷ γενομένου ὑπὸ τὴν σκιὰν τοῦ ὄνου βουληθείη ἀναπαύσασθαι· οὐ παρεῖναι γὰρ οὔτε δένδρον οὔτ' ἄλλο τοιοῦτον οὐδέν. τὸν δὲ ὀνηλάτην κωλύειν φάσκοντα ὄνον αὐτῷ μεμισθωκέναι μόνον, οὐ μὴν καὶ σκιάν· ὥστε διατριβὴν αὐτοῖς καὶ φιλονεικίαν πολλὴν περὶ τούτου γενέσθαι. ταῦτα δὲ εἰπών, ὡς εἶδε τοὺς Ἀθηναίους προσέχοντας σφόδρα καὶ ἡδομένους καὶ ποθοῦντας τὰ ἑξῆς ἀκοῦσαι, ἐπέπληξεν αὐτοῖς, εἰ περὶ ὄνου μὲν σκιᾶς ἀκροᾶσθαι δέονται καὶ παρακαλοῦσιν, ὑπὲρ δὲ ἀνδρὸς περὶ τοῦ ζῆν κινδυνεύοντος οὐκ ἐθέλουσιν ἀκούειν. δῆλον δὲ ὅτι λεγομένῳ τούτῳ ἐχρήσατο Δημοσθένης. διόπερ καὶ ἐν τοῖς Φιλιππικοῖς παρῳδῶν τὴν παροιμίαν φησὶ (or. V 25) διαφέρεσθαι τοὺς Ἀθηναίους περὶ τῆς ἐν Δελφοῖς σκιᾶς. ὀργεῶνες · οἱ τοῖς ἰδίᾳ ἀφιδρυμένοις θεοῖς ὀργιάζοντες. [15]

omicron 25* ὀργιάζειν δέ ἐστι τὰ τῶν θεῶν ὄργια τελεῖν, τουτέστι μυστήρια καὶ νόμιμα. Νόμων ι' (Plat. lgg. 910b)· 'μὴ κεκτῆσθαι ἔσω ἐν ἰδίαις οἰκίαις ἱερά. τὸν δὲ φανέντα κεκτημένον ἕτερα καὶ ὀργιάζοντα πλὴν τὰ δημόσια ...' Σέλευκος δὲ ἐν τῷ ὑπομνήματι τῶν Σόλωνος Ἀξόνων (fr. 35 M. Müller) ὀργεῶνάς φησι καλεῖσθαι τοὺς συλλόγους ἔχοντας περί τινας ἥρωας ἢ θεούς. ἤδη δὲ μεταφέροντες καὶ τοὺς ἱερέας οὕτω καλοῦσιν. ὁ γοῦν Ἀντίμαχος ἐν τῇ Λύδῃ (fr. 67 Wyss) φ 〈ησίν〉 · 'ἔνθα Καβάρνους θῆκεν ἀγακλέας ὀργειῶνασ'. καὶ ὁ Αἰσχύλος ἐν Μυσοῖς (fr. 144 N. 2 ) τὸν ἱερέα τοῦ Καΐκου προσαγορεύων· 'ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεών· εὐχαῖς δὲ σῴζοις δεσπότας παιωνίαισ'. περὶ δὲ τῶν ὀργεώνων γέγραφε καὶ Φιλόχορος (FHG. I 399, fr. 94)· 'τοὺς δὲ φράτορας ἐπάναγκες δέχεσθαι καὶ τοὺς ὀργεῶνας καὶ τοὺς ὁμογάλακτας, οὓς γεννήτας καλοῦμεν'. ὀστράκου περιστροφή · παροιμία ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη. [10]

omicron 26 εἴρηται δὲ ἀπὸ παιδιᾶς τοιαύτης· διελόντες ἑαυτοὺς οἱ παῖδες ὡς ἰσαρίθμους ἑκατέρους γενέσθαι οἱ μὲν πρὸς ἀνατολὴν ἵσταντο, οἱ δὲ πρὸς δυσμάς, ἄλλος δέ τις μεταξὺ ἑκατέρων καθήμενος ὄστρακον εἶχεν ἐκ μὲν τοῦ ἑνὸς μέρους κεχρισμένον λεύκῃ, ἐκ δὲ θατέρου μέλανι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἔρριπτε τοῦτο ὀρθόν. καὶ εἰ μὲν κατεφέρετο τὸ λευκὸν μέρος ἄνω, οἱ πρὸς ἀνατολὰς ἑστῶτες ἐδίωκον τοὺς πρὸς δυσμάς, εἰ δὲ τὸ μέλαν ἄνω, οἱ ἐκ δυσμῶν ἐδίωκον, ἕως καταλάβοιεν. καταλαβόντες δὲ ἐβαστάζοντο ὑπ’ αὐτῶν, ἕως ἐπανέλθωσιν ἐπὶ τὸν τόπον, ἀφ’ οὗ τὴν ἀρχὴν ἔφυγον. ὀσφὺν κατηγὼς ὥστε Μυσίας ὄνος · παροιμία ** ἐν Μυσίᾳ γὰρ σπανιώτατον εὑρεῖν ὄνον ὀρθὴν ἔχοντα τὴν ὀσφύν.

omicron 28 οὐ γὰρ ἄκανθαι · λεγόμενον ἐπὶ τῶν ὠφελίμων, ἀπὸ τῆς τοῦ βίου εἰς τὸ ἡμερώτερον μεταβολῆς. οὐδ’ ἀπὸ γείσων ὗσεν · ἐπὶ τοῦ ἐλαχίστου.

omicron 30* οὐδὲ Ἡρακλῆς πρὸς δύο (cf. Paus. π 32)· τοὺς Μολιονίδας ἔφυγε. Δίνων δὲ ἐν β′ τῆς δευτέρας συντάξεως (FHG. II 90, fr. 4) Ἡρακλέα τὸν Ἰδαῖον Δάκτυλον καταδείξαντα Ὀλύμπια πρὸς δύο διαπυκτεύσαντα ἡττηθῆναι. οὐδὲν ἱερόν (cf.

omicron 31 Theocr. V 21 s.; Clearch. fr. 66a We.) Ἡρακλῆς εἶπεν Ἀδώνιδος ἰδὼν ξόανον ὡς τῶν εὐεργετησάντων τοὺς ἀνθρώπους μόνων ὀφειλόντων τιμᾶσθαι. ἢ ὅτι οἱ καταφυγόντες εἰς αὐτὸ δοῦλοι ἄδειαν οὐκ εἶχον. οὐδὲν πρὸς τὸν Διόνυσον · Ἐπιγένους τοῦ Σικυωνίου τραγῳδίαν εἰς τὸν Διόνυσον 〈οὐκ ἀνήκουσαν〉 ποιήσαντος ἐπεφώνησάν τινες τοῦτο.

omicron 32 ὅθεν ἡ παροιμία. βέλτιον δὲ οὕτως· τὸ πρόσθεν εἰς τὸν Διόνυσον γράφοντες τούτοις ἠγωνίζοντο, ἅπερ καὶ Σατυρικὰ ἐλέγετο· ὕστερον δὲ μεταβάντες εἰς τὸ τραγῳδίας γράφειν κατὰ μικρὸν εἰς μύθους καὶ ἱστορίας ἐτράπησαν, μηκέτι τοῦ Διονύσου μνημονευόντες· ὅθεν τοῦτο καὶ ἐπεφώνησαν. καὶ Χαμαιλέων ἐν τῷ Περὶ Θέσπιδος τὰ παραπλήσια ἱστορεῖ (fr. 20 p. 30 Koepke). Θεαίτητος δὲ ἐν τῷ Περὶ παροιμίας (cf. CPG. praef. XI) Παρράσιόν φησι τὸν ζωγράφον ἀγωνιζόμενον παρὰ Κορινθίοις ποιῆσαι Διόνυσον κάλλιστον· τοὺς δὲ ὁρῶντας τά τε τῶν ἀνταγωνιστῶν ἔργα, ἃ κατὰ πολὺ ἐλείπετο, καὶ τὸν τοῦ Παρρασίου Διόνυσον ἐπιφωνεῖν· ‘Τί πρὸς τὸν Διόνυσον;‘ ἐπὶ τῶν μὴ τὰ προσήκοντα τοῖς ὑποκειμένοις φλυαρούντων. οὐδ’ ἐν σελίνοις · ἐπὶ τῶν μηδὲ τὴν ἀρχὴν ἐφθακότων, ἀπὸ τῶν εἰς τοὺς κήπους ἰόντων.

omicron 33 ἐπὶ γὰρ τὰ ἄκρα, τοὺς λεγομένους περικήπους, σέλινα καὶ πήγανα κατεφύτευον. βούλεται οὖν λέγειν ἡ παροιμία· οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος, καθάπερ οὐδὲ οἱ εἰς τοὺς κήπους εἰσιόντες ἐν τοῖς σελίνοις εἰσίν. οὐδὲ πυρφόρος · ὅταν πολλοὺς ἀποφῆναι βουλώμεθα τοὺς τελευτήσαντας, λέγομεν ὅτι οὐδὲ πυρφόρος ὑπελείφθη, οἷον οὐδὲ ὁ τὸ πῦρ οἴσων εἰς τὴν πόλιν, καθάπερ εἰ ἐλέγομεν ‘οὐδὲ σκηνοφύλαξ‘ ἤ τι τῶν παραπλησίων.

omicron 35 οὐδὲ τἀρχαῖον ποιεῖ (com. fr. ad. 723 K.)· ἐπὶ τῶν μὴ λυσιτελούντων. ὁ δ’ οξυκριθεις ἐπὶ τῶν ἐλαχίστων. οὐδ’ ἴκταρ βάλλει (Plat.

omicron 36* rep. 575c)· παροιμία ἀντὶ τοῦ οὐδ’ ἐγγὺς τοῦ σκοποῦ γίνεται. οὐκ ἐπαινεθείης οὐδὲ ἐν περιδείπνῳ · ἐπὶ τῶν μηδενὸς ἀξίων ἡ παροιμία.

omicron 37 εἰώθεσαν γὰρ ἐν τοῖς περιδείπνοις τὸν τελευτήσαντα ἐπαινεῖν, καὶ εἰ φαῦλος ἦν. οὐ μάλα κυκκᾶς .

omicron 38* παροιμία ‘οὐδέν‘ σημαίνουσα. οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθόν ἐσθ’ ὁ πλοῦς (Ar.

omicron 39 fr. 902 K.; fr. ad. 600 K)· διὰ τὸ τὰς ἑταίρας ὑπὲρ τῶν Ἑλλήνων εὔξασθαι, φασίν, ἐν τῷ μεγάλῳ πολέμῳ τῇ Ἀφροδίτῃ ἢ διὰ τὸ δυσείσβολον εἶναι τὸν πλοῦν, ἢ ἐπεὶ πολλαὶ ἦσαν ἑταῖραι καὶ τῶν πλουσίων μόνων ὁ πλοῦς. οὐρανίαν · παιδιάν, ὅταν τὴν σφαῖραν εἰς τὸν οὐρανὸν ἀναβάλλωσιν.

omicron 41 οὐ τρέφει μία λόχμη δύο ἐριθάκους (cf. Ar. vesp. 927 s.)· ἐπὶ τῶν ἐκ μικροῦ τινος κερδαίνειν σπουδαζόντων· ἐρίθακος δέ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον. οὐ φροντὶς Ἱπποκλείδῃ · παροιμία, ἧς μέμνηται Ἕρμιππος ἐν Δημόταις (II 387 M.

omicron 42

Eulogikon public reading copy · View original HTML at eulogikon.org

= fr. 17 K.). Ἱπποκλείδης ὁ Τ〈ε〉ισάνδρου μέλλων γαμεῖν Ἀγαρίστην τὴν Κλεισθένους τοῦ Σικυωνίου θυγατέρα τοῦ τυράννου ἐν αὐτῇ τῇ τῶν γάμων ἡμέρᾳ ἐπωρχήσατο περιττῶς. μεταβουλευσαμένου δὲ τοῦ Κλεισθένους καὶ Μεγακλεῖ τῷ Ἀλκμαίωνος τὴν θυγατέρα δόντος, πρὸς δὲ τὸν Ἱπποκλείδην φανερῶς εἰπόντος, ὅτι ἀπώρχηται τὸν γάμον τὸν Ἀγαρίστης, ὑποτυχὼν ἔφη· ‘οὐ φροντὶς Ἱπποκλείδῃ‘. ὀψ’ ἦλθες, ἀλλ’ ἐς τὸν Κολωνὸν ἵεσο (fr.

omicron 43 com. ad. 35 Dem.)· παροιμία λέγεται ἐπὶ τῶν μισθαρνούντων. παιπάλημα · τὸν πανοῦργον καὶ ποικίλον ἐν κακίᾳ καὶ παμπόνηρον σὺν ἀγχινοίᾳ.

pi 2 παλάθη · ἡ τῶν σύκων ἤ[τοι] τῶν ἰσχάδων ἐπισύνθεσις. παλαμναῖος = Ael.

pi 3 π 4. Παναθήναια · ἡ τῶν Παναθηναίων ἑορτὴ καὶ ὁ ἀγών· ἐτέθη μὲν πρῶτον ὑπὸ Ἐριχθονίου τοῦ Ἡφαίστου καὶ τῆς Ἀθηνᾶς, ὕστερον δὲ ὑπὸ Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ.

pi 4 ἄγεται δὲ ὁ ἀγὼν διὰ πέντε ἐτῶν. καὶ ἀγωνίζεται παῖς Ἰσθμικοῦ πρεσβύτερος καὶ ἀγένειος καὶ ἀνήρ. τῷ δὲ νικῶντι διδόασιν ἔλαιον ἐν ἀμφορεῦσι καὶ στεφανοῦσιν αὐτὸν ἐλαίᾳ πλεκτῇ. πάντα κάλων σείειν · παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων.

pi 5 παρῆκται δὲ ἀπὸ τῶν τὰ ἄρμενα χαλώντων. πάντα λίθον κινεῖν · Πολυκράτει τῷ Θηβαίῳ χρησμὸς ἐξέπεσε πριαμένῳ τόπον, ἔνθα Μαρδόνιος ἐσκήνωσεν, ὅτε Πέρσαι ἔφυγον, καὶ εὗρε χρυσόν.

pi 6 οἱ δὲ εἰρῆσθαί φασιν ἀπὸ τῶν τοὺς καρκίνους θηρευόντων. πάντα ὀκτώ · οἱ μὲν Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς πρὸς ταῖς ἀπ’ αὐτοῦ Στησιχορείοις λεγομέναις πύλαις [καὶ] τοῦ μνημείου ἔχοντος ὀκτὼ κίονας καὶ ὀκτὼ βαθμοὺς καὶ ὀκτὼ γωνίας.

pi 7 οἱ δὲ ὅτι Ἀλήτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων ὀκτὼ φυλὰς ἐποίησε τοὺς πολίτας καὶ ὀκτὼ μέρη τὴν πόλιν. παρὰ κωφὸν ἀποπέρδειν · παροιμία ἐπὶ ἀναισθήτων.

pi 9* παραλοῦμαι · παροιμιακῶς. εἰώθε[ι]σαν γὰρ πρότερον ἐν τοῖς βαλανείοις οἱ πλούσιοι παραλούειν τοὺς πένητας. Ἀριστοφάνης Ἀναγύρῳ (II 965 M. = fr. 55 K.)· ‘ἀλλὰ πάντας χρὴ παραλοῦσθαι καὶ 〈〉 τοὺς σπόγγους ἐᾶν‘, συνειισιέναι τοῖς πλουσίοις ὥστε μηδὲ σπόγγους φέρειν, ἀλλὰ τοῖς ἐκείνων χρῆσθαι. παραμπυκίζεται · παραπλέκεται τὰς τρίχας.

pi 11 πάραντα · πλάγια, ἑτεροκλινῆ. πάροχος · ὁ παροχούμενος ἐκ τρίτων τῷ νυμφίῳ καὶ τῇ νύμφῃ ἐπὶ τῆς ἁμάξης· 〈καὶ〉 παροχήσομαι· πάροχος ἔσομαι.

pi 13* πάτος · ὁδός, καὶ ἐκ πάτου· ἐκ ποδῶν. πέλανοι · πέμματα ἐκ παιπάλης, τουτέστιν ἀλεύρου λεπτοτέρου, εἰς θυσίαν ἐπιτήδεια, ὡς αὐτός φησιν (Plat.

pi 14 lgg. 782c)· ‘〈θύματα οὐκ ἦν τοῖς θεοῖσι ζῷα, πέλανοι δὲ καὶ〉 καρποὶ μέλιτι δεδευμένοι‘. Διονύσιος Θρᾷξ (cf. RE. V 1, 979)· ‘θεοῖς ἀπαρχαί τινεσ‘. λέγεται δὲ πέλανος καὶ ὁ περὶ τῷ στόματι πεπηγὼς ἀφρὸς καὶ τὸ περιπεπηγὸς καὶ ἐξηραμμένον ὀπῶδες δάκρυον οἷον λιβανωτὸς 〈καὶ〉 κόμμι, καὶ ὁ τῷ μάντει διδόμενος μισθὸς ὀβολός. πελάται · οἱ παρὰ τοῖς πλησίον ἐργαζόμενοι καὶ θῆτες· οἱ αὐτοὶ δὲ καὶ ἑκτήμοροι, ἐπεὶ τῷ ἕκτῳ μέρει τῶν καρπῶν εἰργάζοντο τὴν γῆν.

pi 16 Πενέσται · οἱ παρὰ Θετταλοῖς μὴ γόνῳ δοῦλοι. ἀπὸ τῶν ὑπὸ Αἵμονος ἐν Ἄρνῃ νικηθέντων Βοιωτῶν οὐ φυγόντων τὴν παρ’ αὐτῶν δουλείαν, ἀλλὰ μεινάντων μέχρι τῆς τρίτης γενεᾶς, φιληδούντων τῇ χώρᾳ. παρέδοσαν δὲ ἑαυτοὺς ἐφ’ ὅρκῳ ἐπὶ τῷ μήτε παθεῖν τι ἐργαζόμενοι μήτε ἐκβληθῆναι ἀπὸ τῆς χώρας. καὶ ἀπὸ τοῦ μεῖναι Μενέσται καλούμενοι ὕστερον Πενέσται μετωνομάσθησαν παραφθαρέντος τοῦ χαρακτῆρος. περὶ ὄνου σκιᾶς · παροιμία ἐπὶ τῶν ἐνδιατριβόντων τοῖς μηδενὸς ἀξίοις.

pi 18* πεσσοί · αἱ παιδιαὶ ἀπὸ τῶν πεσσῶν, οἵπερ εἰσὶν ἀστράγαλοι. πηδάλια · αὐχένες.

pi 20

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πηλέως μάχαιρα · παροιμία, ἣν ἀναγράφει καὶ Ἀριστοφάνης οὕτως (p. 240, fr. 11 N.)· ‘μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ‘. ἐδόκει σωφροσύνης γέρας, ἡφαιστότευκτος, ἣν εἰλήφει μάχαιραν ὁ Πηλεύς. λαμβάνεται δὲ ἐπὶ τῶν σπανίων καὶ τιμιωτάτων κτημάτων. [διὰ γὰρ σωφροσύνης ὑπερβολὴν παρὰ θεῶν λαβεῖν φασι τὸν Πηλέα ξίφος Ἡφαίστου κατασκευάσαντος]. πηνήκη · περικεφαλαία τριχωτὴ καὶ περιθετὴ κόμη· ἔνθεν καὶ πηνηκίζειν τὸ ἀπατᾶν.

pi 21 τῆς δὲ περιθετῆς κόμης τὸ μὲν ἔντριχον, τὸ δὲ προκόμιον, τὸ δὲ πηνήκην ἐκάλουν. πιππίζειν καὶ τιτίζειν · μίμησις ὀρνέων φωνῶν.

pi 23 πλέθρον · τὸ τοῦ σταδίου ἕκτον μέρος, ὅπερ ἐστὶ πηχῶν ἑξήκοντα ἓξ διμοίρου. ὅλον γὰρ τὸ στάδιόν ἐστι τετρακοσίων. πλήξαντα καὶ πληγέντα τὸν Ἡρακλέα · ἐπεὶ μεταξὺ Πίσης καὶ Ἤλιδος δαιδάλειον ἀνδριάντα ἀγνοήσας ὡς ἄνδρα ἔπληξε λίθῳ, ὁ δὲ ἀντικρούσας ὀπίσω ἔπληξεν αὐτόν.

pi 25 πλόχανον · πλέγμα, ᾧ ὁ σῖτος καθαίρεται. πόλεις παίζειν · τὰς νῦν χώρας καλουμένας ἐν ταῖς ἑξήκοντα ψήφοις.

pi 27 πόπανα · πλακούντια πλατέα καὶ λεπτὰ καὶ περιφερῆ. πρεσβύτερος Κόδρου · παροιμία ἐπὶ τῶν πάνυ παλαιῶν ἀπὸ τοῦ βασιλεύσαντος Ἀθήνησι Κόδρου.

pi 29 Προμυλαία · θεὸς προμύλιος, ἣν ἀφιδρύοντο ἐν τοῖς μυλῶσιν ὡς Εὔνοστον. πρὸ ὁδοῦ · τὸ ἀναγκαιότερον καὶ ὡς εἰπεῖν προὔργου.

pi 31 προόδων · ὁ τοὺς ὀδόντας ἐξωτέρω ἔχων τοῦ δέοντος. πρὸς δύο οὐδ’ [ὁ] Ἡρακλῆς · ταύτης 〈τῆς παροιμίασ〉 τὴν αἰτίαν ὁ Δοῦρις (FG Hist 76, 93) οὕτως ἀφηγεῖται· Ἡρακλέα φησὶ βωμὸν είσάμενον ἐπὶ τῷ Ἀλφειῷ πυγμῆς ἀγῶνα θεῖναι καὶ νικήσαντα, τὴν ἑξῆς Ὀλυμπιάδα πάλιν ἀγωνιζόμενον, ὑπὸ Ἐλάτου καὶ Φεράνδρου πάλῃ ληφθῆναι· καὶ ἐξ ἐκείνου τὸ ‘πρὸς δύο οὐδ’ Ἡρακλῆσ‘ παροιμιασθῆναι.

pi 32 Ἐχεφυλ[λ]ίδας δὲ (FHG. IV 403, fr. 3) αὐτὸν ὑπὸ Κτεάτου καὶ Εὐρύτου τῶν Μολ〈ι〉ονιδῶν ἡττηθῆναι κατὰ τὴν ἐπ’ Αὐγέαν στρατείαν. διωχθέντα δὲ ἄχρι τῆς Βουπράσιδος καὶ περιβλεψάμενον, ὡς οὐδεὶς ἐξίκετο τῶν πολεμίων, ἀναψῦξαί τε καὶ ἐκ τοῦ παραρρέοντος ποταμοῦ πιόντα προσαγορεῦσαι τοῦτο ‘ἡδὺ ὕδωρ‘, ὃ νῦν δείκνυται ἰόντων ἐκ Δύμης εἰς Ἦλιν καλούμενον ὑπὸ τῶν ἐγχωρίων ‘Σαδὺ ὕδωρ‘. τὰ δὲ αὐτὰ καὶ Φερεκύδης (FG Hist 3, 79 a) καὶ Κώμαρχος (cf. Clearch. fr. 67 We.) καὶ Ἴστρος ἐν τοῖς Ἠλιακοῖς (FHG. I 424, fr. 46) ἱστοροῦσιν. καὶ διὰ τοῦτο θεωροὺς τοὺς Μολιονίδας ἰόντας εἰς Κόρινθον λοχήσαντα τὸν Ἡρακλέα περὶ Κλεωνὰς ἀποκτεῖναι· ὅθεν Ἠλ〈ε〉ίοις ἀπώμοτον εἶναι τὰ Ἴσθμια ἀγωνίζεσθαι, ὅτι θεωροὺς πεμφθέντας εἰς τὸν Ἰσθμὸν τοὺς Μολιονίδας ἑλὼν Ἡρακλῆς ὑπὸ Κορινθίων ἐδέχθη. Ἡρόδωρος δὲ (FG Hist 31, 23) καὶ Ἑλλάνικός (FG Hist 4, 103) φασιν ὡς, ὅτε τὴν ὕδραν Ἡρακλῆς ἀνῄρει, τὴν Ἥραν αὐτῷ καρκίνον ἐφορμῆσαι, πρὸς δύο δὲ οὐ δυνάμενον μάχεσθαι σύμμαχον ἐπικαλέσασθαι τὸν Ἰόλαον, καὶ ἐντεῦθεν ῥηθῆναι τὴν παροιμίαν. προτέλεια · ἡ πρὸ τῶν γάμων θυσία. [15]

pi 33 Μένανδρος (fr. 903 Kö.). ‘ πρῴ‘ μονοσύλλαβον · τὸ πρωῒ ἢ 〈τὸ〉 πρὸ καιροῦ.

pi 35 πρωκτὸς λουτροῦ περιγίνεται (cf. Ar. vesp. 604)· παροιμία, ὅταν τις μὴ δύνηται ἀπονίψασθαι, ἀλλ’ ἡ κοιλία ἐπιφέρηται. ἐπὶ τῶν ἀνωφελῶν οὖν καὶ εἰκῆ πραττομένων ἐλέγετο. πρῶνες · ὀρῶν ἐξοχαί, βουνοί· ἀπὸ τοῦ προῶσθαι.

pi 37 πτέον · ** Σοφοκλῆς δὲ (fr. 980 N. 2 = 1084 P.) πτύον. πύανοι · κύαμοι, ἀφ’ ὧν Πυανόψια.

pi 39*

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πυανόψια · ἑορτὴ Ἀθήνησιν Ἀπόλλωνος. ὠνομάσθη δὲ καὶ 〈Πυανέψια〉 διὰ τὸ ἑψόμενον ἔτνος τῶν κυάμων. τὸ γὰρ ἔτνος καὶ τὴν ἀθάρην πυάν〈ι〉α καλοῦσιν· ἀφ’ οὗ καὶ μήν ἐστι Πυανεψιὼν λεγόμενος· 〈οὗ τῇ ἑβδόμῃ ἄγεται ἡ ἑορτή〉. Πύθια καὶ Δήλια (cf.

pi 40* Men. fr. 134 Kö.)· φασὶ Πολυκράτη τὸν Σάμου τύραννον Πύθια καὶ Δήλια ποιήσαντα ἅμα ἐν Δήλῳ πέμψαι εἰς θεοῦ χρησόμενον, εἰ τὰ τῆς θυσίας ἄγει κατὰ τὸν ὡρισμένον χρόνον. τὴν δὲ Πυθίαν ἀνελεῖν· ‘ταῦτά σοι καὶ Πύθια καὶ Δήλια‘, βουλομένην δηλοῦν, ὅτι ἔσχατα. μετ’ ὀλίγον γὰρ χρόνον αὐτὸν ἀπολέσθαι συνέβη. Ἐπίκουρος δὲ ἔν τινι τῶν Πρὸς Ἰδομενέα ἐπιστολῶν ταῦτα (fr. 136 Us.). πυθοῦ χελιδόνος (cf.

pi 41 Ar. II 1181 M.; Chion. V 14 M. = Ar. fr. 601 s. K.)· παροιμία ἀπό τινος Χελιδόνος, θεολόγου ἀνδρὸς καὶ τερατοσκόπου καὶ περὶ τελετῶν διειλεγμένου, ὡς Μνασέας ὁ Πατρεὺς ἐν τῷ Περίπλῳ (FHG. III 156, fr. 43). οἱ δὲ ὅτι θρηνητικὸν τὸ ζῷον, οἱ δὲ ὅτι τὸ ἔαρ προσημαίνει. Πυθώδ[ε]’ ὁδός · παροιμία ἐπὶ τῶν τὰ [τοι]αὐτὰ πρασσόντων, ὡς πρὸς 〈τῷ〉 ‘Διὸς Κόρινθοσ‘ (cf.

pi 42 Paus. δ 17 et υ 8). πυόν (acc.

pi 43* masc.)· τὸ πυρίεφθον· τινὲς δὲ (cf. Ael. D. s. πυός) πᾶν γάλα νέον ἢ ὃ ἂν μετὰ γάλακτος ἑψηθῇ χθεσινοῦ. πύραυνος · ὁ τὸ πῦρ ἐναυόμενος.

pi 45 πῦρ ἐπὶ πυρί · παροιμία, ἧς μέμνηται καὶ Πλάτων (lgg. 666 a)· κακὸν ἐπὶ κακῷ. πυρπαλάμης · ὁ ταχέως τι ἐπινοῶν καὶ παλαμώμενος ἴσα πυρί.

rho 1 Ῥαμνουσία Νέμεσις · αὕτη πρῶτον ἀφίδρυτο ἐν Ἀφροδίτης σχήματι· διὸ καὶ κλάδον εἶχε μηλέας. ἱδρύσατο δὲ αὐτὴν Ἐρεχθεὺς μητέρα ἑαυτοῦ οὖσαν, ὀνομαζομένην δὲ Νέμεσιν καὶ βασιλεύσασαν ἐν τῷ τόπῳ. τὸ δὲ ἄγαλμα Φειδίας ἐποίησεν, οὗ τὴν ἐπιγραφὴν ἐχαρίσατο Ἀγορακρίτῳ τῷ Παρίῳ ἐρωμένῳ (cf. Ant. Car. p. 10 Wil.). ὃς καὶ Ὀλυμπίασι τῷ δακτύλῳ τοῦ Διὸς ἐπέγραψεν· ‘Παντάρκης καλόσ‘. ἦν δὲ οὗτος Ἀργεῖος, ἐρώμενος αὐτοῦ. ῥαχίαι · οἱ τραχεῖς καὶ παρήκοντες τόποι καὶ αἰγιαλῷ παρατείνοντες.

rho 3 ῥάχους · τὰς ἀκανθώδεις καὶ τραχείας ῥάβδους λέγουσιν. Ῥηγίνους · τοὺς δειλούς.

rho 4 Ξέναρχος γὰρ ὁ Σώφρονος τοῦ μιμογράφου υἱὸς (fr. 2 p. 182 Kaib.) ἐκωμῴδει τοὺς Ῥηγίνους ὡς δειλοὺς ὑπὸ Διονυσίου τοῦ τυράννου πεισθείς. καὶ παροιμία· ‘‘Ρηγίνου δειλότεροσ‘ ἐπὶ τῶν καθ’ ὑπερβολὴν δειλῶν. ῥικνοῦσθαι · τὸ διέλκεσθαι καὶ παντοδαπῶς διαστρέφεσθαι κατ’ εἶδος· λέγεται δὲ καὶ [ῥικνοῦσθαι] τὸ καμπύλον γίνεσθαι ἀσχημόνως καὶ κατὰ συνουσίαν καὶ ὄρχησιν κάμπτοντα τὴν ὀσφύν.

rho 5 Σοφοκλῆς Ἰχνευταῖς (fr. 295 N. 2 = 316 P.). Ῥοδίων χρησμός · Ῥόδιοι τῇ Λινδίᾳ Ἀθηνᾷ θύοντες καθ’ ἑκάστην ἡμέραν διετέλουν ἐν τῷ ναῷ εὐωχούμενοι· οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἀμίδα εἰσφέρειν.

rho 6 〈δόξαν οὖν αὐτοῖς ἠρώτησαν τὸν Ἀπόλλωνα, εἰ τοῦτο δέοι ποιῆσαι〉. συγκαταινέσαντος δὲ 〈τούτου〉 πάλιν ἀνεπυνθάνοντο χαλκῆν ἢ ὀστρακίνην. ὁ δὲ ὀργισθεὶς ἀπεφήνατο ‘μηδετέραν‘. διὸ τὴν παροιμίαν τάσσεσθαι ἐπὶ τῶν περιεργότερον πυνθανομένων. Ῥοδώπιδος ἀνάθημα · ἐν Δελφοῖς ὀβελίσκοι πολλοί.

rho 7* Ἀπελλᾶς δὲ ὁ Ποντικὸς (FHG. IV 307, fr. 2) οἴεται καὶ ἐν Αἰγύπτῳ πυραμίδα, Ἡροδότου (II 134, 2 ss.) ἐλέγχοντος τὴν δόξαν. ἦν δὲ Θρᾷσσα τὸ γένος, ἐδούλευσε δὲ σὺν Αἰσώπῳ Ἰάδμονι Μιτυληναίῳ. ἐλυτρώσατο δὲ αὐτὴν Χαράξας ὁ Σαπφοῦς ἀδελφός. ἡ δὲ Σαπφὼ Δωρίχαν αὐτὴν καλεῖ (fr. 25 D. 2 ; fr. inc. 86 Lob.). σάκος · ὅπλον.

sigma 2 σάκτας · θύλακος, μάρσιππος. Σαμίων ὁ δῆμός 〈ἐστιν〉 ὡς πολυγράμματος · Ἀριστοφάνης Βαβυλωνίοις (II 972 M.

sigma 3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

= fr. 64 K.) ἐπισκώπτων τοὺς ἐστιγμένους. οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ (fr. 575 R.). ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ κδ′ γράμματα ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν Τρίποδι (FHG. II 348 fr. 7). τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν Ἀρχῖνος [δ’ Ἀθηναίοις] ἐπὶ ἄρχοντος Εὐκλείδου (a. 403/2). τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Ἀριστοφάνης ἔτεσι πρὸ τοῦ Εὐκλείδου κε′ ἐπὶ Εὐκλέους (a. 427/6). περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος (FG Hist 115, 155). οἱ δὲ ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔστιζον γλαυκί, Σάμιοι 〈δὲ ** 〉 τῇ σαμαίνῃ, ὅ ἐστι πλοῖον δίκροτον ὑπὸ Πολυκράτους πρῶτον κατασκευασθὲν τοῦ Σαμίων τυράννου, ὡς Λυσίμαχος ἐν β′ Νόστων (FHG. III 339, fr. 15). τὸ δὲ πλάσμα Δούριδος (FG Hist 76, 66). οἱ δὲ τὴν σάμαιναν νόμισμα εἶναι. τάττεται δὲ ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους κακῶν συμφοράς, παρόσον Ἀθηναῖοι τοὺς Σαμίους ἔστιξαν. Σαρδαναπάλου 〈τρυφηλότερος · Σαρδαναπάλου〉 ς ἐν β′ Περσικῶν δύο φησὶ γεγονέναι Καλλισθένης (FG Hist 124, 34), ἕνα μὲν δραστήριον καὶ γενναῖον, ἄλλον δὲ μαλακόν.

sigma 4* ἐν Νίνῳ δ’ ἐπὶ τοῦ μνήματος αὐτοῦ τοῦτ’ ἐπιγέγραπται· ‘Ἀνακυνδαράξου παῖς Ταρσόν τε καὶ Ἀγχιάλην ἔδειμεν ἡμέρῃ μιῇ. ἔσθιε, πῖνε, ὄχευε, ὡς τά γε ἄλλα οὐδὲ τούτου ἐστὶν ἄξια‘, τουτέστι τοῦ τῶν δακτύλων ἀποκροτήματος. τὸ γὰρ ἐφεστὼς τῷ μνήματι ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίηται ὡς ἂν ἀποληκοῦν τοῖς δακτύλοις. ταὐτὸ καὶ ἐν Ἀγχιάλῳ τῇ πρὸς Ταρσῷ ἐπιγέγραπται, ἥτις νῦν καλεῖται Ζεφύριον. Σαρδόνιος γέλως · παροιμία ἐπὶ τῶν ἐπ’ ὀλέθρῳ τῷ σφῶν αὐτῶν γελώντων, ἣν Δήμων μέν 〈φησι〉 (FHG.

sigma 5 I 380, fr. 12) διαδοθῆναι, ὅτι οἱ Σαρδόνα κατοικοῦντες αἰχμαλώτων τε τοὺς καλλίστους καὶ πρεσβυτέρ 〈ων τ〉 οὺς ὑπὲρ ἑβδομήκοντα ἔτη 〈γεγενημένουσ〉 τῷ Κρόνῳ ἔθυον γελῶντας ἕνεκα τοῦ τὸ ἔπανδρον ἐμφῆναι, Τίμαιος δὲ (FHG. I 199, fr. 29; cf. 28) τοὺς ἱκανὸν βεβιωκότας χρόνον ἐν Σαρδοῖ συνωθουμένους σχίζαις ὑπὸ τῶν υἱῶν, εἰς ὃν ἔμελλον θάπτεσθαι βόθρον, γελᾶν. οἱ δὲ ἀπὸ τοῦ σεσηρέναι μετ’ ἀνίας. καί φασιν ἄλλοι τε καὶ Κλείταρχος (FG Hist 137, 9) ἐν Καρχηδόνι ἐν ταῖς μεγάλαις εὐχαῖς παῖδα ταῖς χερσὶ τοῦ Κρόνου ἐπιθέντας (ἵδρυται δὲ χαλκοῦς, προβεβλημένας ἔχων τὰς χεῖρας, ὑφ’ ᾧ κρίβανος) ἔπειτα ὑποκαίειν· τὸν δὲ συνελκόμενον ὑπὸ τοῦ πυρὸς δοκεῖν γελᾶν. Σιμωνίδης δὲ (fr. 202 a Bgk.) Τάλων τὸν ἡφαιστότευκτον Σαρδονίους τοὺς βουλομένους περαιῶσαι πρὸς Μίνωα εἰς πῦρ καθαλλόμενον, ὡς ἂν χαλκοῦν, προ 〈σ〉 στερνιζόμενον ἀναιρεῖν ἐπιχάσκοντας. Σιληνὸς δὲ ἐν δ′ Τῶν περὶ Συρακούσας (FG Hist 175, 5) λάχανον εἶναι παρὰ Σαρδονίοις ἡδύ, σελίνῳ ἐμφερές, οὗ τοὺς γευσαμένους τάς τε σιαγόνας 〈σεσηρέναι〉 καὶ τὰς σάρκας αὐτῶν ἀποδάκνειν. ἔνιοι δὲ τοὺς ἐπὶ κακῷ γελῶντας, ὡς καὶ Ὀδυσσέα φησὶν Ὅμηρος (υ 301 s.) ‘μείδησε δὲ δῖος Ὀδυσσεύς σαρδόνιον‘, καὶ ἐν ἄλλοις (Ο 101 ss.)· ‘ἡ δ’ ἐγέλασσε χείλεσιν, οὐδὲ μέτωπον ἐπ’ ὀφρύσι κυανέῃσιν ἰάνθη‘. σαυτὴν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας, γύναι (Philem.

sigma 6 IV 61 M. = fr. 190 K.)· Ἀστυδάμᾳ τῷ Μορσίμου εὐημερήσαντι ἐπὶ τραγῳδίας διδασκαλίᾳ Παρθενοπαίου (p. 779 N. 2 ) δοθῆναι ὑπ’ Ἀθηναίων εἰκόνος ἀνάθεσιν ἐν θεάτρῳ. τὸν δὲ εἰς αὑτὸν ἐπίγραμμα ποιῆσαι ἀλαζονικὸν τοῦτο (A. P. app. III 43)· ‘εἴθ’ ἐγὼ ἐν κείνοις γενόμην ἢ κεῖνοι ἅμ’ ἡμῖν, οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν. ὡς ἐπ’ ἀληθείας ἐκρίθην ἀφεθεὶς παράμιλλος· νῦν δὲ χρόνῳ προέχους’, οἷς φθόνος οὐχ ἕπεται‘. διὰ γοῦν τὴν ὑπερβάλλουσαν ἀλαζονείαν 〈ἐκείνουσ〉 παραιτήσασθαι τὴν ἐπιγραφήν. καὶ παροιμία παρὰ τοῖς κωμικοῖς ἐγένετο ὡς παρὰ Φιλήμονι (l. l.). λέγεται δὲ καὶ κατὰ ἀποκοπὴν τὸ ‘σαυτὴν ἐπαινεῖσ‘. σειρὴν μὲν φίλον ἀγγέλλει, ξεῖνον δὲ μέλισσα · σειρὴν ζῷόν ἐστι κηροποιὸν μελίσσῃ παραπλήσιον (cf.

sigma 7

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Arist. h. a. 623 b 11). Σειρῆνας · γυναῖκάς τινας εὐφώνους γεγενῆσθαι μῦθος παλαιὸς Ἑλληνικός, αἵτινες ἐν νησίῳ καθεζόμεναι οὕτως ἔτερπον τοὺς παραπλέοντας διὰ τῆς εὐφωνίας ὥστε κατέχειν ἐκεῖ μέχρι θανάτου.

sigma 8 εἶχον δὲ ἀπὸ μὲν τοῦ θώρακος κάτω εἶδος στρουθῶν, τὰ δὲ ἄνω γυναικῶν. Σείριον · τὸν Κυν 〈ὸς ἀστέρ〉 α, ὁτὲ δὲ (Archil.

sigma 9* fr. 63 D. 2 ) καὶ τὸν ἥλιον. Ἴβυκος δὲ (fr. 12 D. 2 ) πάντα τὰ ἄστρα σείρια λέγει. σελῆναι · πέμματα πλατέα κυκλοτερῆ.

sigma 11 σηκός · σημαίνει μὲν τὸ περίφραγμα καὶ τὴν ἔπαυλιν τῶν προβάτων, σημαίνει δὲ καὶ τὸ ἡρῷον, οἷον (tr. fr. ad. 164 N. 2 = fr. ad. 1282 K.)· ‘ὃς τόνδ’ ἔχεις τὸν σηκόν, ἵλεως γενοῦ‘. ἔτι δὲ καὶ ἐλαίαν, οὐ μονοστελέχη, ἀλλὰ πολύκλαδον ὥστε καὶ καλάμην ἔξωθεν ἔχειν περικεχυμένην καὶ πολλὴν καὶ πυκνήν. ἔνεστι γὰρ ὑπὸ ταῖς τοιαύταις ἐλαίαις καὶ σηκάζεσθαι. ὥστε τρία εἴδη ἐλαίας· [καὶ] αἱ μὲν γὰρ ἁπλῶς ἐλαῖαι καλοῦνται, αἱ δὲ μορίαι, ὅσαι καὶ ἱεραὶ τῆς Ἀθηνᾶς ἦσαν, αἱ δὲ σηκοί, αἱ πολύκλαδοι καὶ κομῶσαι. οὐκ ἐξῆν δὲ οὔτε τοὺς σηκοὺς οὔτε τὰς μορίας ἐκκόπτειν· ἢ γὰρ θάνατος ἦν ἡ ζημία. σίραιον · τὸν ἑψημένον οἶνον καὶ γλυκύν. [5]

sigma 13 σκαπέρδα · παιδιά τις. δοκίδος γὰρ ἐκτετρημένης σχοινίον διεκβαλόντες προσάπτουσι τοῖς νεανίσκοις, καὶ ὁ προσαγαγὼν πρὸς τὴν δοκίδα τὸν ἕτερον νικᾷ. σκάφας ἔφερον οἱ μέτοικοι ἐν τῇ πομπῇ τῶν Παναθηναίων, οἱ μὲν χαλκᾶς, οἱ δὲ ἀργυρᾶς κηρίων καὶ ποπάνων πλήρεις, ἐνδεδυκότες φοινικίους χιτῶνας.

sigma 14 οὕτω Μένανδρος (fr. 166 Kö.). σκνὶψ ἐκ χώρας (cf.

sigma 15 Strattid. II 790 M. = fr. 70 K.)· ἐπὶ τῶν ταχὺ μεταπηδώντων ἡ παροιμία· ἔστι γὰρ ὁ σκνὶψ ζῷον μικρὸν ξυλοφάγον. σκολιόν · ἡ παροίνιος ᾠδή, ὡς μὲν Δικαίαρχος ἐν τῷ Περὶ μουσικῶν ἀγώνων (fr.

sigma 16 88 We.), ὅτι τρία γένη ἦν ᾠδῶν, τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον, 〈τὸ δὲ〉 καθ’ ἕνα ἑξῆς, τὸ δὲ ὑπὸ τῶν συνετωτάτων, ὡς ἔτυχε τῇ τάξει· ὃ δὴ καλεῖσθαι διὰ τὴν τάξιν σκολιόν. ὡς δὲ Ἀριστόξενος (fr. 125 We.) καὶ Φύλλις ὁ μουσικός, ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες, παρὰ μέρος ἑξῆς μυρρίνας ἔχοντες ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο διὰ τὴν θέσιν τῶν κλινῶν. σκολύθρια · ταπεινὰ διφρία, Πλάτων ἐν Εὐθυδήμῳ (278 b). [5]

sigma 17 ἔνιοι δὲ ὑποπόδια. σκόλυθρον · σκνιπὸν καὶ ἀνελεύθερον· ἀπὸ σκολύθρων, διφρίων βραχέων.

sigma 19 σκορακίζειν (com. fr. ad. 1147 K.)· οἷον ἐς κόρακας ἀποπέμπειν. ἀπὸ τούτου γὰρ εἴρηται, ὡς καὶ τὸ οἰμώζειν ἀπὸ τοῦ οἴμοι. σκορακισμός · προπηλακισμός.

sigma 21 σμήρινθοι · δεσμοὶ ἢ σπασμοί· Πλάτων Νόμων πρώτῳ (644 e)· ‘ταῦτα τὰ πάθη νεῦρα ἢ σμήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλοις ἀνθέλκουσιν.‘ σπιθαμὴ τοῦ βίου · τὸ ἐλάχιστον.

sigma 23 στάθμης ἀκριβέστερος · ὀρθότερος τῆς ὀρθότητος ἢ 〈τοῦ〉 κανόνος εὐθύτερος. στρεψίμαλλος ἄνθρωπος · ὁ μὴ ἁπλοῦς.

sigma 24 ἀπὸ τῶν ἐρίων τῶν συνεστραμμένους τοὺς μαλλοὺς ἐχόντων. συκίνη μάχαιρα · συκοφάντρια.

sigma 26 σῦκον ἐφ’ Ἑρμῇ · τὸ ἐκκείμενον ἐπ’ ὠφελείᾳ τῷ βουλομένῳ. τὸ γὰρ πρῶτον φανὲν σῦκον Ἑρμῇ ἀνετίθεσαν, οἱ δὲ παριόντες ἦρον. σὺν δόρει, σὺν ἀσπίδι (Ach.

sigma 27 fr. 29 N. 2 ; Ar. pac. 357)· ἐπὶ τῶν παντὶ τρόπῳ πρᾶξαί τι πειρωμένων. συνωμότης · ὁ κατὰ τοῦ δήμου ἀνιστάμενος, συναγωγεὺς δὲ ὁ τοὺς τοιούτους ὑποδεχόμενος.

sigma 29* συρβηνεύς · ὁ ταραχώδης ἀπὸ τῶν αὐλούντων μετὰ θορύβου, ἢ πένης διὰ τὸ τὰς αὐλοθήκας καὶ φαρέτρας κενὰς 〈ἔχειν〉. καὶ συρβηνέων χορός (cf. Clearch. fr. 15 We.)· ὁ τεταραγμένος καὶ συώδης ἀπὸ τοῦ τοῖς ὑσὶν ἐπιφωνουμένου συρβαβυττα. καὶ τύρβη· ὁ τάραχος. οὕτως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀριστοφάνης ὁ γραμματικός (p. 241, fr. 13 N.). Σύροι πρὸς Φοίνικας · ἑκάτερα τὰ ἔθνη διαβέβληται ὡς πανοῦργα, ἢ ὅτι ἑκάστοτε δι' ἔχθρας ἀλλήλοις ὄντα οὐδέποτε πιστῶς διαλλάττεται.

sigma 31 συστομώτερον σκάφης (Men. fr. 166 Kö. c. t.)· τάττεται ἐπὶ τῶν διὰ τὸ ἀγεννὲς σιωπώντων. Θεόφραστος γὰρ ἐν τῷ Περὶ νόμων (fr. 103 Wi.) εἰρῆσθαί 〈φησιν〉 ἀπὸ τοῦ τοὺς μετοίκους Ἀθήνησιν ἐν ταῖς δημοτελέσι πομπαῖς σκάφας φέροντας πομπεύειν· καὶ ὁπότε δὲ ἐβούλοντο μέτοικον δηλῶσαι, ἢ σκάφην ἔλεγον ἢ σκαφηφόρον, διὰ δὲ τὸ ἀπαρρησίαστον εἶναι συστομώτερον ποιήσειν ἀπειλεῖν σκάφης. σφηκιὰν ἠρέθισας · βλάβην ἤγειρας κατὰ σεαυτοῦ.

sigma 33* σφηκίσκοι · ἀριθμητικὸν σχῆμα καὶ ξύλα μικρὰ εἰς ὀξὺ συνηγμένα. οὕτω Φερεκράτης (II 353 M. = fr. 238 K.). σφηκώδεις · οἱ λαγαροὶ τοῖς σώμασι καὶ συνεζωσμένοι.

sigma 34 καὶ γὰρ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνηγμένην ἔχουσιν. Σφήττιοι · δῆμος τῆς Ἀκαμαντίδος φυλῆς.

sigma 35 κωμῳδοῦνται δὲ ὡς ὀξεῖς, ὥσπερ Ἀχαρνεῖς ἄγριοι, Ποτάμιοι δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράφους [νόμους]. σχῆμα καὶ τριώβολον · ** Φρύνιχον γάρ φασι τὸν τραγῳδιοποιὸν οὕτω σπουδάσα περὶ τραγικὴν ὄρχησιν ὥστε τῷ καινὸν σχῆμα εὑρόντι διδόναι τριώβολον (cf.

sigma 36* Latte RGVV. 13, 3p. 34). σχοινίον μεμιλτωμένον (cf.

sigma 37* Plat. II 690 M. = fr. 214 K.)· εἰ βραδύνοιεν ἐπὶ τὴν ἐκκλησίαν, οἱ τοξόται σχοινίον μιλτοῦντες συνήλαυνον καὶ τὰ πρατήρια διέκλειον. τάδε ἐκ τοῦ τρίποδος · τίθεται ἐπὶ τῶν πάνυ ἀληθῶν.

tau 1 Ἀριστοκλείᾳ γὰρ τῇ ** Πυθίᾳ γενομένῃ μ 〈ε〉 ιχθῆναι Πυθαγόραν τὸν Δελφὸν καὶ τῶν ὑπ' αὐτῆς μαντευμάτων παρασημειοῦσθαι, ὅσα ἔχρα ἔνθεος γενομένη. καὶ ταῦτα ὡς ἀληθῆ παρασημειοῦσθαι, ὡς ἐκ τοῦ τρίποδος. τάδε Μῆδος οὐ φυλάξει (cf.

tau 2 Dicaearch. fr. 102 We.)· κατὰ τὴν Ξέρξου ἔφοδον τοὺς Ἕλληνας ἀπειρηκότας τὰ ἑαυτῶν ἀναλίσκειν καὶ δαπανᾶν ἐπιλέγοντας· 'τάδε Μῆδος οὐ φυλάξει'. τάδ' οὐ παρὰ Κενταύροισι · λεγόμενόν τι.

tau 3 Τηλεκλείδης τισι (II 375 M. = fr. 45 K.)· 'τῶν δυνατῶν τι κέλευ'· οὐ γὰρ παρὰ Κενταύροισιν'. τὰ ἐκ τῶν ἁμαξῶν σκώμματα · ἐπὶ τῶν ἀπαρακαλύπτως σκωπτόντων.

tau 4 Ἀθήνησι γὰρ ἐν τῇ τῶν Χοῶν ἑορτῇ οἱ κωμάζοντες ἐπὶ τῶν ἁμαξῶν τοὺς ἀπαντῶντας ἔσκωπτόν τε καὶ ἐλοιδόρουν. τὸ δ' αὐτὸ καὶ τοῖς Ληναίοις ὕστερον ἐποίουν. τάλαρος · καλαθίσκος.

tau 6 ταλασία · ἐριουργία. ταλάσιον · ἐριουργικόν.

tau 8* ταλασιουργία · ἡ τῶν ἐρίων ἐργασία. Ταντάλου δένδρα · ἐπὶ τῶν ἀκερδῶν ** Ταντάλου τάλαντα · πλούσιος ὁ Φρὺξ Τάνταλος διεβεβόητο Πλουτοῦς καὶ Διὸς λεγόμενος.

tau 10 κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν γ' (fr. 127 Bgk.). γέγονε δὲ παρὰ τὸ ὄνομα τάλαντα, ὡς καὶ παρὰ τῷ κωμικῷ εἴρηται (IV 660 M. = fr. ad. 602 K.)· ' 〈τὰ〉 Ταντάλου τάλαντα ταντλίζεται'. τἀπὶ κοσκίνῳ · λεγόμενόν τι, οἷον τἀληθῆ πάντα.

tau 12 τὰ πρῶτ' ἀρίστους παῖδας Αἴγιν' ἐκτρέφει · παροιμία 〈ἐπὶ τῶν ἐν ἀρχῇ κοσμίων, μετὰ δὲ ταῦτα ἀσελγαινόντων〉 . ἐξ ἀκμῆς γάρ φασι μεταβάλλουσιν ἐπὶ τὸ χεῖρον οἱ Αἰγινῆται ἀπὸ Ἀχιλλέως, Πατρόκλου, Αἴαντος, Νεοπτολέμου. ταρρός καὶ ταρσός · τὸ τυροκομεῖον, ἀγγεῖον πλεκτὸν ὡς ψίαθος ἐκ καλάμων, ἐν ᾧ τυρεύουσιν, καὶ κρεμαστήρ, ἐφ' οὗ 〈τοὺσ〉 τυροὺς ἔτερσον, καὶ τὸ ἄνω τοῦ ποδὸς ἢ τὸ ἄκρον τῆς χειρός.

tau 13* καὶ ταρροί· κρεμάστρα καλαμίνη καὶ τὰ τῶν τυρῶν ἀγγεῖα καὶ τὰ τῶν λαχάνων καὶ ὁ στοῖχος τῶν κωπῶν, ἐπεὶ πτεροῖς ἐοίκασιν. τάρρωμα · τὴν κωπηλασίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

tau 14 οὕτως Ἀριστοφάνης (II 1220 M. = fr. 868 K.). τὰ Σαμίων ὑποπτεύεις · παροιμία αὕτη λέγεται ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους κακῶν προδοσίας.

tau 15 παρῆλθε δὲ ἀπὸ τῶν γενομένων ὑπὸ Ἀθηναίων εἰς Σαμίους αἰκισμῶν. ἑλόντες γὰρ αὐτοὺς οἱ Ἀθηναῖοι τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ἔστιξαν τῇ καλουμένῃ σαμ〈αίν〉ῃ, ἥ ἐστιν εἶδος πλοίου Σαμιακοῦ. ἀνθ' ὧν καὶ οἱ Σάμιοι τοὺς ἁλόντας μετὰ ταῦτα Ἀθηναίων ἔστιξαν. ταῦτ' 〈αὐτ〉ὰ πράττω[ν] 'φασκ' ἀνὴρ οὐδὲν ποῶν · Κρατῖνος Ὥραις (II 166 M.

tau 16 = fr. 252 K.). ἡ γὰρ παροιμία ἐπὶ τῶν μηδὲν ποιούντων. ταχυβάμονας ὅρκους · Ἀρίσταρχος κατ' ἀντίφρασιν ἀκούει ἀντὶ τοῦ βραδεῖς.

tau 17 βέλτιον δὲ τοὺς ἐν ἔρωτι γινομένους νοεῖν. ἀβλαβεῖς γὰρ οἱ ἐπιορκήσαντες. ὅθεν καὶ παροιμία (trag. fr. ad. 525 N. 2 )· 'Ἀφροδίσιος 〈γὰρ〉 ὅρκος οὐκ ἐμποίνιμοσ'. Τελχῖνες · πονηροὶ δαίμονες, φθονεροί, βάσκανοι.

tau 18* Ξενομήδης δὲ ὁ τὰ Κεῖα γράψας καὶ τοὺς Τελχῖνας ἐτυμολογήσας εἶπεν (FHG. II 43, fr. 3), ὅτι θελγῖνες ἦσαν. 'τὰ γὰρ θάλλοντα ἔθελγον, φησί, καταρραίνοντες τοῖς ὕδασι τῆς Στυγὸς καὶ ἄγονα ἐποίουν, ἕως φυτῶν βασκαίνοντες.' Τενέδιος ἄνθρωπος (Men.

tau 19 fr. 176 Kö.)· Κύκνον τὸν Ποσειδῶνος γενόμενον πατέρα Ἡμιθέας καὶ Τέννου ἐπιγῆμαι τούτοις. καὶ κατηγορηθῆναι τὸν Τέννην ὑπὸ τῆς μητρυιᾶς, ὡς πειρῶντα αὐτήν. πεισθέντα δὲ Κύκνον εἰς λάρνακα βαλεῖν τὸν νεανίαν. ἑλομένης δὲ τῆς Ἡμιθέας συγκινδυνεύειν τῷ ἀδελφῷ ἑκατέρους κατεπόντωσεν. ἡ δὲ λάρναξ ἠνέχθη ἐπὶ τὴν πρότερον καλουμένην Λεύκοφρυν, ὕστερον δὲ Τένεδον ἀπ' ἐκείνου. ὃς καὶ βασιλεύσας τῆς νήσου ἐνομοθέτησε τοῖς τὰ ψευδῆ κατηγοροῦσιν ὄπισθεν παρεστάναι τὸν δήμιον πέλεκυν ἐπηρμένον 〈ἔχοντα〉, ὡς ἐλεγχθέντας παραχρῆμα ἀναιρεῖσθαι. ἀπὸ δὲ τοῦ φοβεροῦ θεάματος ἐκείνου λέγεσθαι 'Τενέδιος ἄνθρωποσ'. εἴρηται οὖν ἡ παροιμία ἐπὶ τῶν φοβερῶν τὰς ὄψεις. Τενέδιος πέλεκυς · ἐπὶ τῶν ἀποτόμων. [5]

tau 20* Τέννης. γὰρ διὰ τὰ τῆς μητρὸς αὐτοῦ ψευδῆ κατηγορηθέντα ἐνομοθέτησεν ἐξόπισθεν τοῦ θανάτου κατηγοροῦντος ἵστασθαί τινα ἔχοντα πέλεκυν, τὸν δ' ἀδικεῖν γνωσθέντα τούτῳ παίειν. τερηδών · σκώληξ ξυλοτρώκτης οἰκῶν ἐν ξύλῳ.

tau 22 Τερμέρια κακά · περὶ Καρίαν χωρίον Τερμέριον καλεῖται, ᾧ ἐχρῶντο οἱ τύραννοι δεσμωτηρίῳ· τὸ δὲ χωρίον ἐρυμνὸν [τυγχαν]ὂν κεῖται μεταξὺ Μύλου καὶ Ἁλικαρνασσοῦ. τῶν δὲ ἀπὸ τούτου ληϊζομένων δυσαλώτων [τυγχαν]ὄντων λεχθῆναι τοῦτο. τετράδι γέγονας · ἐπὶ τῶν ἄλλοις πονούντων.

tau 23 καὶ γὰρ τὸν Ἡρακλέα τετράδι γεννηθέντα Εὐρυσθεῖ ταλαιπωρῆσαι. Φιλόχορος δὲ (FHG. I 413, fr. 177) αὐτὴν καὶ ἐπὶ Ἑρμοῦ δύνασθαι λέγεσθαι. διατεθεῖσθαι δὲ Ἡρακλεῖ τὴν ἡμέραν ἐν ταύτῃ εἰς θεοὺς μεταστάντι. τετρωβολίζων (Theop.

tau 24 II 812 M. = fr. 55 K.)· τὸ δικαστικὸν τετρώβολον λαμβάνων. ἐγένετο γὰρ καὶ τοσοῦτόν ποτε. τετρωβόλου βίος · στρατιωτικὸς μισθός.

tau 26 τὴν Ἀκεσαίου σελήνην · παροιμία, λέγεται δὲ ἐπὶ τῶν διαμενόντων καὶ βραδυνόντων. ἦν δὲ Νείλεω κυβερνήτης ὁ Ἀκεσαῖος. τὴν κατὰ σαυτὸν ἔλα (cf.

tau 27 Call. ep. 1, 12)· τοῦτο οἱ μὲν Πυθικὸν εἶναί φασιν ἀπόφθεγμα, οἱ δὲ Σόλωνος. ἔνιοι δὲ αὐτὸ Χείλωνα εἰπεῖν συμβουλευομένῳ τινί, εἰ πλούσιον ἕλοιτο γάμον. τῆς μητρὸς ὡς αἴξ καλεῖται · οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπολίοις ἀπὸ τῶν μητέρων γνωρίζονται.

tau 28 ἀπὸ πατέρων γὰρ ἀδύνατον. τιγγάβαρι · μίλτος ἀναμεμειγμένη, οὗ τὴν ἐργασίαν φασὶ πρῶτον εὑρεῖν Καλλίαν Ἀθηναῖον.

tau 30

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τιθωνοῦ γῆρας · παροιμία ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων [τάσσεται]. ἱστορεῖται δέ, ὅτι Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλεν. τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως γένῃ ; κέχρηται αὐτῇ Πλάτων ἐν Μενελάῳ (II 642 M.

tau 31 = fr. 75 K.), παρὰ δὲ τὴν ἱστορίαν. οἱ γὰρ ἐν Θήβαις ἑαυτοὺς διαχειρωσάμενοι οὐδ' ἡστινοσοῦν τιμῆς ἠξιοῦντο. τίς πατέρ' αἰνήσει', εἰ μὴ κακοδαίμονα τέκνα · ἴσως ἐπὶ τῶν προγονικὰ ἀνδραγαθήματα προφερόντων.

tau 33 τίς τρόπος ἵππων · παροιμία ἐπὶ τῶν ἀλλοκότων. Μεταγένης Θουριοπέρσαις (II 754 M. = fr. 7 K.)· 'τίς τρόπος ἵππων; ὡς δ' ὀρχοῦνται τὸν βαρβαρικὸν τρόπον οὗτοι'. τιτιγόνιον · ζωύφιον ὅμοιον τέττιγι.

tau 34 Ἐπίλυκος Κοραλίσκῳ (II 887 M. = fr. 4 K.). τὸ ἀπὸ τῆς Παλληνίδος · τὸ φοβερόν· ἀπὸ τῆς ἐν Παλληνίδι μάχης, ἐν ᾗ ἡττήθησαν Ἀθηναῖοι.

tau 36 τὸ θερμὸν τοῦ ὀβελοῦ (Soph. fr. 744 N. 2 = 814 P.)· ἐπὶ τῶν αἱρουμένων τὰ χείρονα ἀντὶ τῶν κρειττόνων ἡ παροιμία. ἀπὸ τῶν ἀπείρως δρασσομένων κατὰ τὸ πεπυρωμένον τῶν ὀβελίσκων. μέμνηται αὐτῆς Σοφοκλῆς (l. l.). τὸ Μηλιακὸν πλοῖον · τοῦτο ἐπὶ τῶν ἄγαν ῥεόντων πλοίων ἀπὸ ἱστορίας τινὸς εἴρηται· φησὶ γὰρ Ἀριστοτέλης (fr.

tau 37 554 R.) Ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι. ἐπειδὴ γὰρ προφασιζόμενοι, οἱ μὲν τὰς γυναῖκας αὐτοῖς ἀρρωστεῖν, οἱ δὲ τὰ πλοῖα ῥεῖν, κατέμενον, κατηράσατο μήτε πλοῖα στέγανα αὐτοῖς γενέσθαι ποτὲ καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί. τὸ παρὸν εὖ ποιεῖν · παροιμία. [5]

tau 38 Πλάτων Γοργίᾳ (499 c)· 'καὶ ὡς ἔοικεν ἀνάγκη μοι κατὰ τὸν παλαιὸν λόγον τὸ παρὸν εὖ ποιεῖν'. Κρατῖνος Πυλαίᾳ (II 113 M. = fr. 172 K.)· 'ἄνδρας σοφοὺς χρὴ τὸ παρὸν πρᾶγμα καλῶς εἰς δύναμιν τίθεσθαι'. τόρμη · ὁ δρόμος ὁ ἐν τῷ ἱπποδρόμῳ ἢ ἡ καμπὴ ἢ ἡ ὕσπληξ.

tau 40 τόρμος · ἡ πλήμνη 〈τοῦ τροχοῦ〉, εἰς ἣν ὁ ἄξων ἐνήρμοσται. τὸ σκαμβὸν ξύλον οὐδέποτε ὀρθόν · αὕτη ἡ παροιμία δημώδης ἐστὶ καὶ φανερά.

tau 41 τάττεται δὲ κατὰ τῶν διάστροφα ξύλα ἢ πράγματα πειρωμένων κατευθύνειν καὶ μηδὲν ὠφελούντων. τοῦ Διὸς τὸ σάνδαλον · ἐπὶ τῶν ὡς μεγα δη τι· Εὔπολις Χρυσῷ γένει (II 545 M.

tau 42 = fr. 295 K.). τραπεζῆες · παράσιτοι οἰκοτραφεῖς.

tau 44 τρασιά · οὗ τὰ σῦκα ψύχεται. οὕτως Εὔπολις (II 576 M. = fr. 451 K.). τρία Στησιχόρου · στροφήν, ἀντίστροφον, ἐπῳδόν· ἐπῳδικὴ γὰρ πᾶσα ἡ τοῦ Στησιχόρου ποίησις.

tau 45 καὶ τὸν τελέως ἄμουσόν τε καὶ ἀπαίδευτον λοιδοροῦντες ἔφασκον ἂν οὐδὲ τὰ τρία Στησιχόρου εἰδέναι. τρὶς ἓξ ἢ τρεῖς κύβοι (Pher.

tau 46 II 315 = fr. 124 K.)· οἱ μὲν 'τρὶς ἕξ' νίκην, οἱ δὲ 'τρεῖς κύβοι' [κενοὶ] 〈ἧτταν δηλοῦσιν〉. καὶ τὸ παρ' Εὐριπίδῃ (fr. 888 N. 2 ) τοιοῦτον· 'βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα'. τριῶν γὰρ ὄντων τῶν ἀναρριπτουμένων βόλων δύο μὲν κενοὺς αὐτόν φησι βαλεῖν, ἕνα δὲ τὸν 〈τρίτον〉 τεττάρων. διττὸς οὖν ὁ 'κύβοσ'· ὅ τε ἀναρριπτούμενος, εἴτε κενὸς εἴτε πλήρης εἴη, καὶ ἰδίως ὁ κενός. ὅτι δὲ ὁ τρὶς ἓξ βαλὼν κατώρθου, καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι (32s.) παρίστησι· 'τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι τρὶς ἓξ βαλούσης τῆς ἐμῆς φρυκτωρίασ'. τρίτος κρατήρ· Διὸς τελείου σωτῆρος. [5]

tau 47 πρῶτος γὰρ τέλειος ἀριθμὸς ὁ τρία, ὅτι ἔχει ἀρχὴν καὶ τέλος καὶ μέσα, ὡς Φιλόχορος ἐν τῷ Περὶ ἡμερῶν (FHG. I 414, fr. 179). τριττύα · ἡ ἐκ τριῶν ζῴων θυσία.

tau 48 Ἐπίχαρμος (fr. 187 K.) 〈τὴν ἐκ〉 δύο μήλων καὶ βοός, Καλλίμαχος (fr. 578 Pf.) τὴν ἐκ κριοῦ 〈καὶ〉 ταύρου καὶ κάπρου. Ἴστρος δὲ ἐν ταῖς Ἀπόλλωνος Ἐπιφανείαις (FHG. I 423, fr. 34) ἐκ βοῶν, αἰγῶν, ὑῶν ἀρρένων, πάντων τριετῶν. τριωβολιμαῖος · ὁ εὐτελής.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

tau 50 τριώβολον · μισθὸς δικαστικὸς καὶ οἱ ἁπλῶς τρεῖς ὀβολοί. τρυγόνα ψάλλειν · παροιμία ἐπὶ τῶν φαύλως πραττόντων· ἴσως παρὰ τὸ τρύζειν.

tau 51 [ʻὡς μή μοι τρύζητε (I 311)]. τρύμη · ὁ πανοῦργος.

tau 52 Ἀριστοφάνης (nub. 448). τρυτάνη · ὁ ζυγός.

tau 54 τυφλότερος λεβηρίδος (Ar. II 956s. M. = fr. 35 K.)· καὶ ʻκενότερος λεβηρίδοσʻ· ἀμφότερα λέγεται. [λεβηρὶς δὲ οἷον λεπηρὶς καὶ λέπος]. τάττεται καὶ ἐπὶ τεττίγων καὶ πάντων τῶν τὸ γῆρας ἀποδυομένων. τυφλότερος σπάλακος · τοῦτο τὸ ζῷον οὐκ ἔχει ὀφθαλμούς.

tau 55 φησὶ δ’ αὐτὸ Στησίμβροτος (FG Hist 107, 18) ὑπὸ τῆς Γῆς τυφλωθῆναι διὰ τὸ φθείρειν τοὺς καρπούς. ἔχει γὰρ ὀδόντας μιαρωτάτους καὶ ῥύγχος ὡς μυγαλῆς καὶ πόδας ὡς ἄρκτου. Τυφῶνος πολυπλοκώτερον (Plat.

tau 56* Phaedr. 230 a)· Τυφὼν ὁ λεγόμενος κεραυνωθῆναι ὑπὸ Διός. τούτου ποικιλώτερον. τῶν τριῶν κακῶν ἕν · λεγόμενόν τι ἐστίν.

tau 57 καὶ Μένανδρος δύο προθεὶς ὡς παροιμιῶδες ἐπιλέγει παίζων τὸ (fr. 735 Kö.)· ʻἓν γάρ τι τούτων τῶν τριῶν ἔχει κακῶνʻ. ταῦτα δὲ εἶναι λέγουσιν, ἃ Θηραμένης ὥρισε προστιμήματα. Πολύζηλος Δημοτυνδάρεῳ (II 867 M. = fr. 3 K.)· ʻτριῶν κακῶν ἓν γοῦν ἑλέσθαι τοὐστὶ πᾶς’ ἀνάγκη· ἢ ξύλον ἐφέλκειν ἢ πιεῖν κώνειον ἢ προδόντα τὴν ναῦν ὅπως τάχιστα τῶν κακῶν ἀπαλλαγῆναι. ταυτὶ τὰ τρία Θηραμένους εὖ σοι φυλακτέ’ ἐστίν.ʻ Ἀριστοφάνης Τριφάλητι (II 1165 M. = fr. 549 K.)· ʻἐγὼ γὰρ ἀπὸ Θηραμένους δέδοικα τὰ τρία ταυτίʻ. ὕδραν τέμνειν · ἐπὶ τῶν ἀμηχάνων λέγεται.

upsilon 1 ἱστορεῖται γὰρ ὕδρᾳ τῇ ἐν Λέρνῃ ἑκατοντακεφάλῳ [τυγχαν]ούσῃ μαχόμενον Ἡρακλέα, ὡς τῶν τεμνομένων αὐτῆς κεφαλῶν ἀνεφύοντο πλείους, κελεῦσαι Ἰολάῳ ἐπικαίειν τὰς τεμνομένας. ὕδωρ παραρρέει (Crat.

upsilon 2 II 52 M. = fr. 60 K.)· ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει σπουδάσειν ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων. Ὕης · ἐπίθετον Διονύσου, ὡς Κλείδημος, ʻἐπειδή φησιν (FHG.

upsilon 3 I 363, fr. 21) ἐπιτελοῦμεν τὰς θυσίας αὐτῷ, καθ’ ὃν ὁ θεὸς ὕει χρόνονʻ. ὁ δὲ Φερεκύδης (FG Hist 3, 90a) τὴν Σεμέλην Ὕην λέγεσθαι καὶ τὰς τοῦ Διονύσου τροφοὺς Ὑάδας. Ἀριστοφάνης δὲ (deest ap. N.; cf. com. II 1221 M. = fr. 878 K.) συγκαταλέγει ξενικοῖς θεοῖς τὸν Ὕην· ʻʻὝης γάρ 〈φησιν〉 ἐπίκλησις τοῦ Σαβαζίουʻ. Ὕλαν κραυγάζειν · ἱστοροῦσιν Ὕλαν τὸν Θειοδάμαντος, καλὸν τὴν ὥραν, ἐρώμενον Ἡρακλέους, ὅτε συνέπλει τοῖς Ἀργοναύταις, γενόμενον [δὲ] κατὰ Μυσίαν ἐξελθεῖν ὑδρευσόμενον, ὑπὸ Νυμφῶν δὲ ἀφανισθῆναι.

upsilon 4 τούτου δὲ ἐπὶ ζήτησιν Πολύφημον πεμφθέντα κεκραγέναι καὶ ὀνομαστὶ ἀνακαλεῖν τὸν Ὕλαν μηδὲν περαίνοντα. διὸ καὶ τὴν παροιμίαν ἐπὶ τῶν μηδὲν ἀνυόντων λέγεσθαι. καὶ νῦν δὲ Κιανοὺς ἔτι ἀπομίμημα τῆς ζητήσεως ποιουμένους ἑορτάζειν τῷ ἥρωι. ὑμεῖς, ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι · χρησμοῦ κομμάτιόν ἐστι παροιμιαζόμενον οὕτως (A P.

upsilon 5 XIV 73 = Or. Gr. 178 Hendess)· ʻ 〈Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον〉 , ἵπποι Θεσσαλικαί, Λακεδαιμόνιαί τε γυναῖκες, ἄνδρες δ’, οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης. ἀλλ’ ἔτι καὶ τῶν εἰσιν ἀμείνονες, οἵτε μεσηγύ Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου, Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο. ὑμεῖς δ’, Αἰγιέες, οὔτε τρίτοι οὔτε τέταρτοι οὔτε δυωδέκατοι οὔτ’ ἐν λόγῳ οὔτ’ ἐν ἀριθμῷʻ. ἱστορεῖ δὲ Μνασέας (FHG. III 157, fr. 50), ὅτι Αἰγιεῖς οἱ ἐν Ἀχαίᾳ καταναυμαχήσαντες Αἰτωλοὺς καὶ λαβόντες πεντηκόντορον αὐτῶν, δεκάτην Πυθοῖ ἀνατιθέντες, ἠρώτων, τίνες κρείττονες εἶεν τῶν Ἑλλήνων· ἡ δὲ Πυθία ἔχρησεν αὐτοῖς τὰ προκείμενα. καὶ Ἴων δὲ Αἰγιεῦσι δοθῆναι τὸν χρησμὸν ἱστορεῖ (fr. 37 v. Blum.). τινὲς δὲ οἴονται (i. e. Dinias FHG. III 25, fr. 7) Μεγαρεῦσιν εἰρῆσθαι αὐτὸν καὶ προφέρονται· ʻὑμεῖς δ’, ὦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι‘. ὡς καὶ Καλλίμαχος ἐν τοῖς Ἐπιγραμματίοις (25, 5s.)· ‘τῆς δὲ ταλαίνης νύμφης ὡς Μεγαρέων οὐ λόγος οὐδ’ ἀριθμόσ‘. ὑπέρα · τὸ τοῦ κέρως τοῦ ἱστοῦ σχοινίον, ᾧ ἀνίεταί τε καὶ διατείνεται.

upsilon 6 γέγονε δὲ ἀπὸ τούτου παροιμία τὸ ‘ἀφέντες τὴν ὑπέραν τὸν πόδα διώκουσιν‘ ἐπὶ τῶν ἃ δεῖ ἔχειν ἀφιέντων, ἃ δὲ μὴ δεῖ κρατούντων. ὑπὲρ καπνοῦ τὸ πηδάλιον (cf.

upsilon 7* Hes. opp. 45)· ἐπὶ τῶν ἀργούντων καὶ καταμελούντων τέχνης. ὑπέρου περιτροπή (cf.

upsilon 8 Plat. Theaet. 209d)· ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων καὶ μηδὲν περαινόντων. καὶ αὗται δὲ αἱ παροιμίαι τοῦτο δηλοῦσιν· ‘[ὁ] Διὸς Κόρινθοσ‘ (cf. Paus. s. v.) καὶ ‘αὖθις αὖ Πυθώδ’ ὁδόσ‘ (cf. gl. π 42; Diog. p. III 34) καὶ ‘ὁ τὴν δοκὸν φέρων‘ καὶ ‘οὐ τυφλός, ἀλλ’ ἐξώρυκται‘. Πλάτων Ἀδώνιδι (II 616 M. = fr. 1 K.)· ‘εἶτ’ οὐχ ὑπέρου μοι περιτροπὴ γενήσεται;‘ ὑπὲρ τὰ ἐσκαμμένα · ὑπὲρ τὰ μέτρα.

upsilon 9 ἀπὸ δὲ τῶν πεντάθλων ἡ μεταφορά, λέγεται δὲ ἀπὸ Φαΰλλου τοῦ πεντάθλου τοῦ Κροτωνιάτου εἰρῆσθαι, ὃς πεντήκοντα ποδῶν ὄντων πρότερον τῶν σκαμμάτων πρῶτος αὐτὸς ὑπερέβαλε τοῖς πηδήμασι ταῦτα, ὡς τὸ ἐπίγραμμα λέγει τῆς εἰκόνος αὐτοῦ (I. G. Metr. n. 142 Preg.)· ‘πέντ’ ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος, δίσκευσεν δ’ ἑκατὸν πέντ’ ἀπολειπομένων‘. καὶ Πλάτων ἐν 〈τῷ διαλόγῳ〉, ᾧ ἡ ἐπιγραφὴ ‘Κρατύλος, περὶ ὀνομάτων ὀρθότητοσ‘ (413 a). ὑπὲρ τὰ Καλλικράτους · Κλέαρχός φησιν (fr.

upsilon 10 77 We.), ὅτι Καλλικράτης τις ἐγένετο ἐν Καρύστῳ πλουσιώτατος· εἴ ποτε οὖν ἐθαύμαζόν τινα οἱ Καρύστιοι ἐπὶ πλούτῳ ὑπερβολικῶς, ἔλεγον· ‘Ὑπὲρ τὰ Καλλικράτουσ‘. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων πολιτείᾳ (28, 3) Καλλικράτην τινὰ πρῶτον τοὺς δικαστικοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι· ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι. ὑπὲρ τὸν κατάλογον (cf.

upsilon 11 Xen. mem. III 4, 1)· παροιμία ἐπὶ τῶν γεγηρακότων. ὑπὸ παντὶ λίθῳ σκορπίος (Anth.

upsilon 12 Lyr. II 6, scol. 20 D. 2 )· ἐλλείπει ὕπεστι. λέγεται ἐπὶ τῶν κακοήθων καὶ ἐπὶ ἐριστικῶν. ὕπουλος · δόλιος, φαινόμενος δῆθεν εἰρηνικός· ὡς ἐπὶ τῶν ἑλκῶν τῶν ἐχόντων οὐλὰς ὑγιεῖς ἐπιπολαίως, ἔνδοθεν δὲ σηπεδόνας πυώδεις.

upsilon 13 ἐξ οὗ ἐπὶ τῶν προσποιουμένων μὲν εἶναι χρηστῶν ἀνθρώπων, ὄντων δὲ μοχθηρῶν ἐλέχθη οὗτος ὁ λόγος. Σοφοκλῆς δὲ (fr. 1000 N. 2 = fr. 1105 P.) ὕπουλον εἶπε τὸν δούρειον ἵππον. ὑπώβολον · ὑποκείμενον πρὸς δάνειον καὶ τόκον, εἴτε ἀγρὸς εἴτε οἶκος εἴτε ἄλλο τι.

upsilon 14 Φερεκράτης Ἰπνῷ (II 277 M. = fr. 58 K.)· ‘οὐχ ὁρᾷς τὴν οἰκίαν τὴν Πουλυτίωνος κειμένην ὑπώβολον;‘ ὗς διὰ ῥόδων · ἐπὶ τῶν σκαιῶν καὶ ἀναγώγων.

upsilon 15 Κράτης Γείτοσιν (II 234 M. = fr. 4 K.). ὗς ὑπὸ ῥόπαλον δραμεῖται · παροιμία παρὰ Δεινολόχῳ (fr.

upsilon 16 14 Kaib.) ἐπὶ τῶν ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλλόντων. ὑφόρμιον · χρυσοῦν κοσμάριον.

phi 1 φαινίνδα · παιδιὰ διὰ σφαίρας, ὅταν ἑτέρῳ προδεικνύντες εἶτα ἄλλῳ ἐφιῶσι τὴν σφαῖραν ὥσπερ φενακίζοντες. φάλαγγες · στίχες, τάξεις· οἱ δὲ τὸ ἐκ πλειόνων τάξεων ὁπλιτικὸν πλῆθος.

phi 2 λέγεται καὶ τὰ τῶν δακτύλων ἄρθρα καὶ νεὼς ὑπερείσματα. ἔνιοι καὶ τὸ στρογγύλον ξύλον καὶ σύμμετρον φαλάγγιον. λέγεται καὶ τοῦ ζυγοῦ ὁ κανὼν φάλαγξ καὶ ἐπὶ τῆς νεὼς ἡ διαβάθρα, καὶ ὁ ἀράχνης δέ, ὃν ἔνιοι καλοῦσι φαλάγγιον. καὶ οἱ κόρακες δὲ παρὰ Ἀττικοῖς φαλάγγια. Φασηλιτῶν θῦμα · ἐπὶ τῶν εὐτελῶν τίθεται.

phi 3 Φασηλίτας γὰρ τάριχον τῷ Κυλάβρᾳ θύειν φησὶ Καλλίμαχος ἐν Βαρβαρικοῖς νομίμοις (fr. 405 Pf.). Φάων · ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφάνων· τοῦ γὰρ Φάωνος ἐρασθῆναί φασι πολλοὶ (e.

phi 4 g. Men. fr. 258 Kö.) Σαπφώ, οὐ τὴν ποιήτριαν, ἀλλὰ Λεσβίαν καὶ ἀποτυγχάνουσαν ῥῖψαι ἑαυτὴν ἀπὸ τῆς Λευκάδος πέτρας. 〈 φεῦγ’〉 ἐς κόρακας · 〈παροιμία ἐπὶ κατάρας λεγομένη ἀντὶ τοῦ εἰς ἀπώλειαν καὶ φθοράν〉.

phi 5 Βοιωτοῖς ⟨γὰρ ἀναστάτοις ὑπὸ Θρᾳκῶν γενομένοις καὶ περὶ ἀποικίας μαντευομένοισ⟩ ἔχρησεν ὁ θεός, ἔνθα ἂν λευκοὶ κόρακες αὐτοῖς ὀφθῶσιν, ἐκεῖ κατοικεῖν. ⟨οἱ δ’ ἐν Θετταλίᾳ⟩ παρὰ τὸν Παγασητικὸν κόλπον κόρακας ἰδόντες περιπετομένους ⟨τοὺσ⟩ τοῦ Ἀπόλλωνος ⟨ἱερούσ⟩ , οὓς παῖδες ἄκακοι ἐγύψωσαν, ⟨καὶ τελεῖσθαι τὸν χρησμὸν φήσαντεσ⟩ ἐνταῦθα κατῴκησαν καλέσαντες τὸ χωρίον Κόρακας. ὕστερον δὲ Αἰολεῖς ἐκβαλόντες αὐτοὺς τοὺς φυγαδευομένους εἰς αὐτὸ ἔπεμπον. οἱ δὲ ὡς τοῦ ζῴου ἀναιδοῦς καὶ δυσοιωνιστικοῦ ⟨κατὰ⟩ τῶν ἀνθρώπων ὄντος. Ἀριστοτέλης δέ φησι (fr. 496 R.) λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ περικαθαίροντας ἐπῳδαῖς ἀφιέναι ζῶντας καὶ ἐπιλέγειν τῷ λοιμῷ· ‘φεῦγ’ ἐς κόρακασ‘. ὁ δὲ Αἴσωπος μυθικῶς (fab. 125 Hausr.) κολοιὸν μέγαν νομίσαντα τοῖς κόραξιν ἴσον εἶναι πρὸς αὐτοὺς πορευθῆναι· ἡττηθέντα δὲ πάλιν εἰς τοὺς κολοιοὺς ὑποστρέψαι· τοὺς δ’ ἀγανακτήσαντας παίειν αὐτὸν λέγοντας· ‘φεῦγ’ ἐς κόρακασ‘. Ἀριστείδης δὲ ἀποδίδωσι (FHG. IV 327, fr. 33) διὰ τὸ ἐν τραχέσι τόποις καὶ κρημνώδεσι τοὺς κόρακας νεοσσοποιεῖσθαι λέγειν ἡμᾶς· ‘φεῦγ’ ἐς κόρακασ‘. φέψαλοι καὶ φεψάλυγες · σπινθῆρες ἀναφερόμενοι ἐκ τῶν καιομένων ξύλων.

phi 7 φθοῖς · πέμματα, ἃ τοῖς θεοῖς μετὰ τῶν σπλάγχνων ἔθυον. Φοινικήϊα γράμματα (Hdt.

phi 8 V 58, 2)· Λυδοὶ καὶ Ἴωνες τὰ γράμματα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος τοῦ εὑρόντος· τούτοις δὲ ἀντιλέγουσι Κρῆτες, ὡς εὑρέθη ἀπὸ τοῦ γράφειν ἐν φοινίκων πετάλοις. Σκάμων δὲ ἐν τῇ δευτέρᾳ τῶν Εὑρημάτων (FHG. IV 489, fr. 2) ἀπὸ Φοινίκης τῆς Ἀκταίωνος ὀνομασθῆναι· μυθεύεται δ’ οὗτος ἀρσένων μὲν παίδων ἄπαις, γενέσθαι δὲ αὐτῷ θυγατέρας Ἄγλαυρον, Ἕρσην, Πάνδροσον. τὴν δὲ Φοινίκην ἔτι παρθένον οὖσαν τελευτῆσαι. διὸ καὶ Φοινικήϊα ⟨καλέσαι⟩ τὰ γράμματα τὸν Ἀκταίωνα βουλόμενόν τινος τιμῆς ἀπονεῖμαι τῇ θυγατρί. Φοινικικὸν ψεῦδος · ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τοὺς Σπαρτοὺς καὶ Κάδμον ψευδῶς λεγομένων.

phi 10 Φοινίκων συνθῆκαι · οἱ τὴν Καρχηδόνα κτίσαντες Φοίνικες, ὅτε προσέπλευσαν τῇ Λιβύῃ, ἐδεήθησαν τῶν ἐγχωρίων δέξασθαι αὐτοὺς νύκτα καὶ ἡμέραν· ἐπιτυχόντες δὲ τούτου οὐκ ἐβούλοντο ἀπαλλάσσεσθαι ὡς συν[τι]θέμενοι νύκτας καὶ ἡμέρας μένειν. διὸ λέγεσθαι τοῦτο ἐπὶ τῶν ἐνεδρευτικῶς συντιθεμένων. τὰ δ’ ὅμοια Δήμων ἐπὶ Μεταποντίνων ἱστορεῖ (FHG. I 381, fr. 15). φόνου πτερόν (tr.

phi 11* fr. ad. 581 N. 2 )· τὸν διὰ τῶν ὀϊστῶν, πτερόεντα ἢ ταχύν. βέλτιον δὲ ἀκούειν περιφραστικῶς τὸν φόνον. φορμός · ὁ κόφινος.

phi 13 φορμίσκοι · πλεκτὰ ἀγγεῖα. φρουρήσεις ἐν Ναυπάκτῳ · τοῖς Ναύπακτον φρουροῦσιν ὀλίγου μισθοῦ διδομένου, τῶν δ’ ἐπιτηδείων πολλοῦ πιπρασκομένων τὴν παροιμίαν γενέσθαι.

phi 14 ἔνιοι δέ, ὅτι Φίλιππος ἑλὼν Ναύπακτον Ἀχαιῶν γνώμῃ τοὺς φρουροὺς αὐτῆς ἀπέκτεινε πάντας. ἱστορεῖ δὲ τοῦτο καὶ Θεόπομπος ἐν ⟨ν′⟩ δευτέρῳ (FG Hist 115, 235). χαλιμάς · ἡ πόρνη.

chi 1* ἀπὸ τοῦ χαλᾶσθαι τὸ σῶμα ὑπὸ μέθης ἢ μανίας. Χαλκεῖα · ἑορτὴ ἀρχαία καὶ δημώδης πάλαι, ὕστερον δὲ ὑπὸ μόνων ἤγετο τῶν τεχνιτῶν, ὅτι ὁ Ἥφαιστος ἐν τῇ Ἀττικῇ χαλκὸν εἰργάσατο.

chi 2 ἔστι δὲ ἕνῃ καὶ νέᾳ τοῦ Πυανεψιῶνος, ἐν ᾗ καὶ ἱέρειαι μετὰ τῶν ἀρρηφόρων τὸν πέπλον διάζονται. χαλκιδίζειν (IV 648 M.

chi 3* = fr. ad. 1192 K.)· ἐπὶ τῶν γλισχρευομένων. οἱ γὰρ ἐν Εὐβοίᾳ Χαλκιδεῖς ἐπὶ φιλαργυρίᾳ ἐκωμῳδοῦντο. Χαλκιδικὸν δίωγμα · τοῖς Θεσμοφορ ⟨ί⟩ οις Ἀθήνησί τι νόμιμον.

chi 4 ἐν πολέμῳ ⟨γάρ ποτε⟩ γυναικῶν εὐξαμένων διωχθῆναι τοὺς πολεμίους, καὶ συνέβη φυγεῖν εἰς Χαλκίδα, ὡς καὶ Σῆμος (deest FHG. IV 492ss.). χαλκιδῖτις · [παρὰ Ἰωσήπῳ] ἡ πόρνη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

chi 5* ἀπὸ τῆς εὐτελείας τοῦ διδομένου νομίσματος. χάραξ · ἡ κάμαξ.

chi 6 ὅθεν καὶ παροιμία (Ar. vesp. 1291, cf. Zen. VI 40)· ‘ἐξηπάτηκεν ἡ χάραξ τὴν ἄμπελον‘, ὅταν ὑπὸ τοῦ σῴζοντος ἀπατηθῇ τὸ σῳζόμενον. Χάρητος ὑποσχέσεις · Χάρης στρατηγὸς Ἀθηναίων εὐχερής τε καὶ ἑτοιμότατος πρὸς τὰς ὑποσχέσεις λέγεται γεγονέναι.

chi 7* ὅθεν ἡ παροιμία τάττεται ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων. χαρίσιοι · πλακοῦντος εἶδος.

chi 8 〈οὗτοι ἀπὸ τῶν καταλειπομένων συμμειγνύμενοι ἐγίνοντο, καὶ δημιουργοὶ ἔπλαττον〉. Ἀριστοφάνης Δαιταλεῦσιν (II 1027 M. = fr. 202 K.)· ‘πέμψω πλακοῦντας ἑσπέρας χαρισίουσ‘. χαυλιόδων · κεχαλασμένους ἔχων τοὺς ὀδόντας ἐξέχοντας.

chi 10 χῆνα ὀμνύναι · ὑπὲρ τοῦ μὴ τοὺς θεοὺς ἐπὶ πᾶσιν ὀνομάζειν Ῥαδάμανθυς ἐκέλευσε κατὰ χηνὸς καὶ κριοῦ ὀμνύναι, οὐχ ὥς τινες (cf. Ael. D. ρ 1) Σωκράτης. Χιαστὶ τίλλειν (com.

chi 11* fr. ad. 919 K.)· ** ὡς τῶν Χίων παρατιλλομένων. Χῖος λόφος · τὸ ἀποτιλθῆναι τὴν κεφαλὴν τὸ μέσον ἀπολ〈ε〉ιπόντων.

chi 13 Χλόη · Δημήτηρ. Χλόης γὰρ Δήμητρος ἱερὸν πρὸς τῇ ἀκροπόλει. Εὔπολις Μαρικᾷ (II 502 M. = fr. 183 K.)· ‘ἀλλ’ εὐθὺ πόλεως εἶμι· θῦσαι γάρ με δεῖ κριὸν Χλόῃ Δήμητρι‘. χοῖνιξ · σκεῦός τι μετρητικὸν σπορίμων, καὶ δεσμὸς ποδῶν.

chi 15 χορταῖος · χιτὼν ποδήρης ἔχων χειρῖδας. χρήματα, χρήματ’ ἀνήρ · ὁμοία τῇ [ὡς καὶ] ‘ἀρχὴ ἄνδρα δείκνυσι‘ καὶ ‘τὴν κατὰ σαυτὸν ἔλα‘ καὶ τῷ ‘γνῶθι σαυτόν‘.

chi 16 λεχθῆναι δὲ αὐτὴν Ἀλκαῖος μὲν (fr. 101 D. 2 ) ὑπὸ Ἀριστοδήμου τοῦ Σπαρτιάτου φησί, Πίνδαρος δὲ (Isth. II 9) ὑπό τινος Ἀργείου, τὸ ὄνομα οὕτω λέγων. ὁ δὲ Ἀριστόδημος ἐγκαταριθμεῖται τοῖς σοφοῖς ὑπό τινων (i. e. Andro Eph. FHG. II 347, fr. 2). χρυσῆ κορώνη (Δ 111)· παροιμία. [5]

chi 17 ὁ ἀγαθὸν τέλος τοῖς φθάσασιν ἐπιθεὶς χρυσέην ἐπιθεῖναι τῷ παντὶ κορώνην λέγεται. χρυσὸς Κολοφώνιος (Ar.

chi 18 II 1095 M. = fr. 352 K.)· οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάσαντο· καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν. καὶ τάχα ἴσως οἱ ἐκπεσόντες τῆς οἰκείας Λυδῶν τὰ περὶ Θρᾴκην καὶ Στρύμονα χρύσεια κατέσχον μέταλλα σύν τισιν Ἰώνων καὶ ἐσπούδασαν περὶ τὸν χρυσόν. χύτρα · φιλήματος εἶδος.

psi 1 ψαιστά · ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ δεδευμένα. Ψιθυριστὴς Ἑρμῆς · Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας (LIX 39).

psi 2 ἀγάλματά εἰσιν Ἀθήνησι Ψιθυριστοῦ Ἑρμοῦ καὶ Ἀφροδίτης καὶ Ἔρωτος, ἅπερ πρῶτος ἐποίησεν, ὥς φησι Ζώπυρος (FHG. IV 533, fr. 6), Θησεύς, ἐπεὶ Φαίδρα, ὥς φασιν, ἐψιθύρισε Θησεῖ κατὰ Ἱππολύτου διαβάλλουσα αὐτόν· οἱ δὲ ἀνθρωπινώτερόν φασιν Ἑρμῆν Ψιθυριστὴν παρὰ τὸ ἀνθρώπους ἐκεῖ συνερχομένους τὰ ἀπόρρητα συντίθεσθαι καὶ ψιθυρίζειν ἀλλήλοις, περὶ ὧν βούλονται. ψιλοδάπιδας τὰς ψιλὰς καὶ μὴ μαλλωτὰς δάπιδας λέγουσιν. [5]

psi 4 〈ψίττα · ποιμενικὸν ἐπίφθεγμα καὶ〉 ψιττάζειν· τὸ ποιμενικῶς 〈ἐπι〉φθέγγεσθαι. Ψύρα τὸν Διόνυσον ἄγοντες · ἡ παροιμία παρὰ Κρατίνῳ (II 207 M.

psi 5 = fr. 352 K.)· τὰ δὲ Ψύρα νησίδιον ἔρημον πλησίον Χίου. λέλεκται δὲ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων. ψώθια · τὰ ὑπερωπτημένα [τῶν ἄρτων] ἀποθραύσματα τὰ ὑποκάτω τοῦ ἄρτου.

psi 6* τὰ δὲ τοιαῦτα ψώθια καὶ ἀτταράγους ἐκάλουν τινές. ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου · ἡ παροιμία παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσιν (v.

psi 7 964). ἐλέχθη δὲ ἐπὶ τῶν μέχρι πολλοῦ ἀπεσκολυμμένων. παρὰ δὲ Διφίλῳ ἐν τοῖς Ἐναγίσμασι (IV 392 M. = fr. 39 K.) παραπεποίηται ἄχρι τοῦ λάρυγγος. ὦαι · ἔσχαται ἄκραι 〈τοῦ χιτῶνοσ〉.

omega 2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὠγύγια κακά · ἐπὶ τῶν ὀχληρῶν. ἐπεὶ συνέβη Κάδμον τὸν Ὠγύγου διὰ τὰς θυγατέρας κακοῖς περιπεσεῖν. ἄμεινον δὲ λέγειν ‘Ὠγύγια κακά‘ τὰ παλαιά. τοῦτο γὰρ ἡ λέξις δηλοῖ (cf. Ael. D. s. v.). ὦτος · παραπλήσιος γλαυκί, ἔχων περὶ τὰ ὦτα πτερύγια.

omega 3 οἱ δὲ νυκτικόρακα.